194

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

# ΔΙΑΘΗΚΗ ΜΑΞΙΜΟΥ ΜΟΝΑΧΟΥ
## ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΕΝ ΛΥΔΙΑ ΜΟΝΗΣ ΚΟΤΙΝΗΣ (1247)

ΑΝΑΤΥΠΩΣΙΣ ΕΚ ΤΩΝ
"ΜΙΚΡΑΣΙΑΤΙΚΩΝ ΧΡΟΝΙΚΩΝ,,
(ΕΤΟΣ Β'—ΤΟΜΟΣ Β')

ΑΘΗΝΑΙ
ΤΥΠΟ-ΜΥΡΤΙΔΗ, ΨΑΡΡΩΝ 2

SISMANOGLIO
MILANO

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

# ΔΙΑΘΗΚΗ ΜΑΞΙΜΟΥ ΜΟΝΑΧΟΥ

## ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΕΝ ΛΥΔΙΑι ΜΟΝΗΣ ΚΟΤΙΝΗΣ (1247)

SISMANOGLIO MEGARO

ΑΝΑΤΥΠΩΣΙΣ ΕΚ ΤΩΝ
"ΜΙΚΡΑΣΙΑΤΙΚΩΝ ΧΡΟΝΙΚΩΝ„
(ΕΤΟΣ Β΄—ΤΟΜΟΣ Β΄)

ΑΘΗΝΑΙ
ΤΥ.ΠΟ-ΜΥΡΤΙΔΗ, ΨΑΡΡΩΝ 2

SISMANOGLIO MEGARO

# ΔΙΑΘΗΚΗ ΜΑΞΙΜΟΥ ΜΟΝΑΧΟΥ ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΕΝ ΛΥΔΙΑ ΜΟΝΗΣ ΚΟΤΙΝΗΣ (1247)

Ἐκδιδομένη ἐπιμελείᾳ

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

Χάρις εἰς τὴν φιλίστορα συναντίληψιν τοῦ ἐλλογίμου φίλου κ. Παγκρατίου, προηγουμένου τῆς ἱερᾶς ἐν Ἁγίῳ Ὄρει βασιλικῆς καὶ πατριαρχικῆς τοῦ Βατοπεδίου μονῆς, ἐν ᾗ φυλάττεται τὸ νῦν ἐκδιδόμενον βυζαντινὸν γράμμα, καθιστῶ, σὺν Θεῷ, σήμερον γνωστὴν τοῖς φιλαρχαίοις τὴν μονὴν Κοτινῆς, τὴν ἄλλοτέ ποτε διαλάμψασαν ἐν τῇ ἐκκλησιαστικῇ ἐπαρχίᾳ Φιλαδελφείας τῆς ἐν Λυδίᾳ. Τῆς μονῆς ἱδρυτὴς καὶ συνεπῶς ἡγούμενος ἐμφανίζεται διὰ τοῦ ὑπ᾽ ὄψιν μου χειρογράφου Μάξιμος, συγγράφων τὴν διαθήκην, ἢ διάταξιν τῶν τῆς μονῆς τῷ 1247. Ἐννοεῖται ὅτι ἡ μονὴ ἐκτίσθη πολὺ πρὸ τοῦ ἔτους τούτου, ἡ δὲ κυροῦσα τὴν διαθήκην ὑπογραφὴ τοῦ αὐτοκράτορος Μιχαὴλ τοῦ Παλαιολόγου βεβαίως ἐτέθη μετὰ τὸ 1257, ὅτε πιθανὸν ὅτι ὁ Μάξιμος ἔζη, αὐτὸς αὐτὴν ὑποβαλὼν εἰς τὸν Μιχαὴλ πρὸς ἔγκρισιν· ἐκτὸς ἂν ἀποδεξώμεθα ἄποψιν ἑτέραν, ὅτι εἰς ἀνάῤῥησιν νέου βασιλέως οἱ μοναχοὶ ὑπέβαλλον αὐτῷ τὰ τῆς μονῆς ἐπίσημα γράμματα πρὸς κύρωσιν.

Οὕτως ἔπραττον μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινοπόλεως οἱ πατριάρχαι τῶν Ἱεροσολύμων, ὡς ἐμάθομεν, ὑποβάλλοντες τῷ νέῳ σουλτάνῳ πρὸς κύρωσιν ἀχτιναμέδες καὶ χάτι - σερίφια καὶ φιρμάνια, κατ᾽ αὐτὸν τὸν τρόπον ἔπραττον οἱ πατριάρχαι Κωνσταντινοπόλεως — ἴσως καὶ οἱ δύο ἕτεροι

πατριάρχαι—προσάγοντες καὶ αὐτοὶ τὸν τελευταῖον «προνομιακὸν χάρτην» =μπεράτι τοῦ συγχρονοῦντος ἑκάστῳ νέῳ σουλτάνῳ πατριάρχου.

Ἦτο δὲ τότε ἡ Φιλαδέλφεια ὀχυρὰ πόλις δυναμένη νὰ σώζῃ καὶ τὰς ἀγχιτέρμονας. Διηγούμενος ὁ Γεώργιος Ἀκροπολίτης ὅτι, ἅμα τε ἀπέθανεν ὁ αὐτοκράτωρ Βατάτζης καὶ ὁ τοῦ θρόνου διάδοχος ἦλθεν εἰς Φιλαδέλφειαν, μαρτυρεῖ ὅτι «μεγίστη δὲ αὕτη πόλις καὶ πολυάνθρωπος, καὶ ὁπλίζεσθαι δεδυνημένους οἰκήτορας ἔχουσα καὶ μάλιστα τοξείαν ἀσκοῦντας· ἀγχιτερμονοῦσα δὲ τοῖς περσικοῖς ὁρίοις, ἀεὶ διαμάχεσθαι τοῖς ὑπεναντίοις τούτους ποιεῖ, καὶ ἐθάδας πολέμου ἐργάζεται» (Ἀκροπ. σ. 111-112). Ἠδύνατο λοιπὸν, 'να σώζῃ καὶ τοὺς ἐν μοναῖς διαβιοῦντας, ἀπολαύοντας ὡς ἐπὶ τὸ πλεῖστον, καθὼς καὶ πᾶσαι αἱ μεγάλαι μοναὶ τῆς καθ' ἡμᾶς Ἀνατολῆς, ἀπὸ τοῦ προφήτου μέχρι Χαμὴτ Β', τῆς εὐνοίας ἐμίρηδων καὶ καλιφῶν. Τοιαύτη ἡ πόλις τῷ 1255. Δεκαπέντε ἔτη πρὸ τῆς συντάξεως τῆς διαθήκης, στρατοπεδάρχης Θρακησίων καὶ Φιλαδελφείας ἦτο Μιχαὴλ ὁ Φωκάς, σύγγαμβρος τοῦ αὐτοκράτορος Ἰωάννου Δούκα τοῦ Βατάτζη· ἀξιωματικοὶ δὲ (ὀφφικιάλοι) τῆς ἱερᾶς μητροπόλεως Φιλαδελφείας ἦσαν: ταβουλλάριος μὲν Ἰωάννης ἱερεὺς ὁ Σελλάρης, ἱερομνήμων δὲ Ἰωάννης ἱερεὺς ὁ Κονίδης (Miklosich καὶ Mueller, Acta Monasteriorum, Α' σ, 5, 47, 48, καὶ 179).

Ἡ κακοδαιμονία τῆς Φιλαδελφείας ἄρχεται ἀπὸ τῶν πρώτων ἐτῶν τῆς αὐταρχίας Ἀλεξίου τοῦ Κομνηνοῦ, ὅτε Ἰωάννης ὁ Βατάτζης ὁ ἐκ Κομνηνῶν ἐφύλαττεν αὐτήν, καθ' ὃν μάλιστα καιρὸν «ἐμφυλίων πολέμων καὶ στάσεων αἱ ἀσιάτιδες ἔγεμον πόλεις», Ἀνδρονίκου τοῦ Κομνηνοῦ τὰ θεμέλια τοῦ κράτους ὑπονομεύοντος καὶ μάλιστα νικῶντος, διότι ἦν ὁ Βατάτζης ἄῤῥωστος· ἀλλὰ βλέπων ὁ Βατάτζης κινδυνεύουσαν τὴν θέσιν τοῦ αὐτοκράτορος, ἐζήτησε 'να μετακομίσωσιν αὐτὸν ἐπὶ κλίνης, ὅπως ἀπὸ γηλόφου τινὸς αὐτὸς διευθύνῃ τὴν μάχην· καὶ οὕτως ὁ στρατὸς ὁ ὑπ'

αὐτὸν ἐνίκησεν· ἀλλὰ τοῦ Βατάτζη τούτου μετά τινας ἡμέρας ἀποθανόντος, οἱ φιλαδελφεῖς προσεκολλήθησαν εἰς τὸν ἀσύνετον Ἀνδρόνικον (Νικήτας Χωνιάτης 340-342).

Ἡ κατὰ τὴν ΙΒ′ ἑκατονταετηρίδα ἀκαταστασία καὶ αἱ συνέπειαι αὐτῆς ἐξηκολούθησαν. Ὁ αὐτοκράτωρ Μανουὴλ ὁ Κομνηνὸς (1143-1180) ἐπεσκέψατο τὴν Φιλαδέλφειαν, λίαν βλαφθεῖσαν κατὰ τὰς ἐχθρικὰς ἐπηρείας· ἤδη κατέστρεψαν οἱ ἐχθροὶ τὰς πόλεις τοῦ Μαιανδρίου πεδίου, καὶ τὰς Τράλλεις καὶ τὴν Ἀντιόχειαν τῆς Φρυγίας, τὸν Πεντάχειρα, τὰ Λοῦμα, καί τινα ἕτερα φρούρια, καὶ τὰς παραθαλασσίους πόλεις (Νικ. Χωνιάτης, 249-51). Συνέχειαν ἀκαταστασιῶν ἀναλαβὼν ὁ φιλαδελφεὺς Θεόδωρος ὁ Μαγγαφάς, ὁ Μωροθεόδωρος ἐπικληθείς, ἐπεχείρησε 'ν' ἁρπάσῃ τὴν βασιλείαν, βασιλέα δ' ἑαυτὸν ἀναγορεύσας ἔκοψε νόμισμα, συνεπαγόμενος ἑαυτῷ σύγκλυδα καὶ χυδαῖον ὄχλον· ἔφερε δ' ἐπ' αὐτοῦ τὸ νόμισμα τὴν εἰκόνα τοῦ Μαγγαφᾶ. Ἀποτυχὼν εἰς τὰς ἐπιχειρήσεις αὐτοῦ ταύτας ἐπέτυχε, παραιτούμενος τὰ βασιλικὰ παράσημα, 'να μένῃ ἡσυχάζων ἐν Φιλαδελφείᾳ. Ταῦτα τῷ 1187. Ἐδίωξεν αὐτὸν ἐκ τῆς Φιλαδελφείας ὁ Βασίλειος Βατάτζης, ὁ δομέστικος τῆς Ἀνατολῆς, φεύγων δὲ ὁ ἐλεεινὸς Μαγγαφὰς προσῆλθεν εἰς Καηχοσρόην τὸν τοῦ Ἰκονίου σουλτάνον, καὶ τοῦτον ἐξηρέθιζε κατὰ τῶν ἑλλήνων, προκαλέσας ὀδυνηρὰν πραγμάτων κατάστασιν, γενόμενος δὲ αἴτιος, τῷ 1188, 'να πυρποληθῇ ὁ ναὸς τοῦ ταξιάρχου Μιχαὴλ ὁ ἐν Χώναις: «ἔργον μέγιστον καὶ περίπυστον ὤν, ὑπερβαίνων εἰς κάλλος καὶ τὴν εἰς μῆκος ἔκτασιν τὸ ἐν τῇ βασιλίδι πόλει τοῦ καλλιμάρτυρος Μωκίου τέμενος». Ἐπὶ τούτῳ κατεδικάσθη δικαίως ὁ Μαγγαφὰς εἰς ἰσόβια δεσμὰ (Χων. 521-24). Ὁ ναὸς ὁ ἐν Χώναις εἶχεν εἰκόνας τοῦ Σωτῆρος καὶ τῶν ἁγίων «ἱστορημένας» διὰ μουσίου (αὐτ. 553). Δυστυχῶς, μετά τινα καιρὸν βλέπω τὸν Μωροθεόδωρον ἄρχοντα τῆς Φιλαδελφείας, καί τινα Σάβαν ἄρχοντα τοῦ Σαμψὼν «μετὰ καὶ τῶν πλησίον τυγχανόντων αὐτῷ, ὃν εὐχερῶς μετῆλθε (Θεόδωρος αὐτοκράτωρ ὁ Λάσκαρις), καν-

τεῦθεν ἐδέσποζεν ἀδεῶς Κελβιανοῦ τε παντὸς, Μαιάνδρου, Φιλαδελφείας, καὶ Νεοκάστρων» (Ἀκροπολίτης 14).

Τῷ 1205 ἡ Λυδία, ἧς πρώτη τότε πόλις ἡ Φιλαδέλφεια, μέρος ἀπετέλει τοῦ ἐν Νικαίᾳ βυζαντινοῦ κράτους, τὰς δὲ Χώνας καὶ τὴν φρυγικὴν Λαοδίκειαν, μητρόπολιν τῆς Φρυγίας Καπατιανῆς, ἢ Πακατιανῆς, παρεχώρησε Θεόδωρος ὁ Λάσκαρις εἰς τὸν Μανουὴλ Μαυροζώμην, πενθερὸν τοῦ ἐν Ἰκονίῳ σουλτάνου Καηχοσρόη· ἴσως δὲ διὰ τοῦτο ἐζήτει ᾿να περιβληθῇ βασιλικοὺς τίτλους, ἔχων ὑφ᾿ ἑαυτὸν τούρκους στρατιώτας, ἐρημώνοντας καὶ λεηλατοῦντας ὅλα τὰ μέρη, ὅσα ποτίζει ὁ Μαίανδρος (Χων. 827, 842). Αὐτὸς ἦτο γραικὸς, ἡ Φιλαδέλφεια ἑλληνικοῦ κράτους πόλις, εἰ καὶ, γελωτοποιῶν ἑαυτὸν καὶ τοὺς ὁμοεθνεῖς αὐτοῦ, Βαλδουῖνος ὁ φράγκος αὐτοκράτωρ ὠνόμασε τῷ 1204 τὸν κόμητα Πέρκης δοῦκα τῆς Φιλαδελφείας (Σταματιάδου Ἱστορία ἁλώσεως τοῦ Βυζαντίου, 61). Σημειωτέον, ἀναφορικῶς πρὸς τὸ ἔτος 1205, ὅτι ἡ ἀπὸ Σάρδεων μέχρι Νικαίας χώρα ἀνεγνωρίσθη τῷ 1216 ὑπὸ τοῦ φραγκικοῦ κράτους Κωνσταντινοπόλεως ἀνήκουσα εἰς τὸ ἑλληνικὸν ἐν Νικαίᾳ βασίλειον (Σταματ. 136).

Ὑποθέτω ὅτι, καθ᾿ ὃν χρόνον ὁ μοναχὸς Μάξιμος συνέτασσε τὴν διαθήκην αὐτοῦ, μητροπολίτης Φιλαδελφείας ἦτο Φωκᾶς, ὁ ἀναλαβὼν ᾿να πείσῃ τῷ 1251-2 τὸν Μιχαὴλ Παλαιολόγον, ἐπὶ συνωμοσίᾳ κατὰ τοῦ Βατάτζη καταγγελθέντα, ᾿να ὑποστῇ τὴν διὰ πεπυρακτωμένης σφαίρας ἀπόδειξιν. Ὁ ἀρχιερεὺς οὗτος ἀπεστάλη μετὰ ταῦτα πρέσβυς πρὸς τὸν ἄρχοντα τῆς Ἠπείρου Μιχαὴλ Κομνηνὸν, ἐν Λαρίσσῃ μένοντα, συμπρεσβεύοντας ἔχων Ἰσαάκιον Δούκαν πριμικύριον τῆς αὐλῆς, Μιχαὴλ τὸν Ὑαλέαν, καὶ τὸν ἀφηγούμενον ταῦτα Ἀκροπολίτην (σ. 50, 99).

Παρατηρῶ ἐνταῦθα ὅτι, ὁ φιλόπονος Ἀντώνιος ὁ Μηλιαράκης ἐν «Ἱστορίᾳ τοῦ βασιλείου Νικαίας καὶ τοῦ δεσποτάτου τῆς Ἠπείρου» ποῦ μὲν γράφει τὸν Φωκᾶν μητροπολίτην Φιλαδελφείας, ποὺ δὲ Φωκᾶν τὸν ἐκ Φιλαδελφείας,

ὡς σφάλλεται ἐνίοτε καὶ ἐν γεωγραφικοῖς ὁρισμοῖς, ἢ λείπει ἀφώτιστα μέρη τινά· οὕτω χωρίζει τὴν Ἀμισὸν ἀπὸ τῆς Σαμψοῦντος, ἐνῷ τὴν αὐτὴν πόλιν γινώσκομεν ὑπὸ δύο ὀνόματα, τὸ τουρκικὸν καὶ τὸ ἑλληνικόν.

Μίαν ἔτι μνείαν τῆς Φιλαδελφείας δέον 'να μὴ παραδράμω· μεταβαίνομεν νοερῶς εἰς αὐτὴν τῷ 1243, ὅτε ταύτην ὁ Βατάτζης ἐπεσκέψατο, καταστήσας τὸ ἔτος τοῦτο ἱστορικόν· διότι τότε συνῆψε συμμαχίαν ἀμυντικὴν καὶ ἐπιθετικήν, ἐν τῇ παρὰ τὸν Μαίανδρον Τριπόλει, μετὰ Ἰαθατίνου, σουλτάνου τοῦ Ἰκονίου, ὅστις, θελήσας πρότερον 'να συνομολογήσῃ συνθήκην μετὰ τῶν ἐν Κωνσταντινοπόλει φράγκων, ὑπέσχετο 'να κτίσῃ καὶ ἕνα χριστιανικὸν ναὸν εἰς ἑκάστην τοῦ κράτους αὐτοῦ πόλιν (Ἀκροπ. 41, Σταματ. 223).

Καὶ ἀναφέρω τὴν εὐχάριστον παρένθεσιν ταύτην ἐν τῇ ἱστορίᾳ, πρὸς ἀπόδειξιν τῆς εὐνοίας, τῆς ὑπὸ τῶν σουλτάνων χορηγουμένης εἰς τοὺς χριστιανοὺς αὐτῶν ὑπηκόους· καὶ νομίζω ὅτι καὶ ἡ μονὴ τοῦ Μαξίμου, χάρις εἴς τινα τοιαύτην εὔνοιαν, ἐσώζετο καιρὸν ἀρκετὸν ἀνεπηρέαστος. Τὸ 1354 ἀναφέρεται καὶ γυναικεία πατριαρχικὴ μονὴ τῆς Θεοτόκου τοῦ κὺρ Δαυΐδ, ταύτην δ' ὁ πατριάρχης Κάλλιστος ὑπέβαλεν εἰς τὴν ἐποπτείαν τοῦ μητροπολίτου Φιλαδελφείας, ἐπιτηροῦντος τὴν ἐν αὐτῇ κοσμιότητα καὶ μοναχικὴν πολιτείαν, ἣν παρέβλαψεν ἡ «ἀνάνδεκτος» διαγωγὴ τῆς μοναχῆς Ἀγγελίνης Σεναχερίνης (Miklosich et Mueller Acta Patriarkatus, Α΄ 333). Ἐὰν δὲ σώζηται κατὰ τὰς ἀκαταστασίας ἐκείνων τῶν χρόνων μονὴ γυναικεία εἰς ἐκεῖνα τὰ μέρη, βεβαίως ἔδει 'να σώζηται καὶ ἀνδρεία μονή.

Προσθετέον εἰς τὸ τέλος τῆς μικρᾶς μου διατριβῆς ταύτης ὅτι, ἡ Φιλαδέλφεια τῆς Λυδίας περιελαμβάνετο ἐν τῷ θέματι τῶν Θρακησίων.

Ὅλος ὁ λόγος τοῦ μοναχοῦ Μαξίμου δεικνύει τὸν ἄνδρα μέτοχον παιδεύσεως. Ἐκτίθησιν ὁ ἴδιος τὰς τοῦ ἰδίου βίου περιπετείας, ἀπαλλάττων κόπου τὸν μέλλοντα 'να γράψῃ περὶ κτίτορος τῆς Κοτινῆς. Ὅμως ἔτυχεν ὑπογραφέως ἀπροσέ-

κτου, συγχρόνου αὐτῷ, ἢ μεταγενεστέρου, δυσκόλως δὲ, ἕνεκα τούτου, ἠδυνήθην εἴς τινα ἐδάφια ᾿να ἐννοήσω τί ζητεῖ ᾿να εἴπῃ· ἐκδίδω τὸ σπουδαῖον τοῦτο γράμμα τῆς ΙΓ΄ ἑκατονταετηρίδος, διότι περιέχει προσοχῆς ἄξια ὀνόματα ἀνδρῶν καὶ γυναικῶν, τοποθεσιῶν, ἀλλὰ καὶ βιβλίων τῆς ἐκκλησιαστικῆς ἡμῶν ἀκολουθίας.

Ἀκριβῶς εἰς τὸ κεφάλαιον τοῦτο περισσοτέραν ἐπέστησα προσοχὴν διὰ τὸ τῶν τίτλων περίεργον· διότι Στιχεράρια καὶ Στιχεροκαθιστάριον ἀνέγνων ἄλλοτε, ἀλλὰ τὸ πρῶτον μανθάνω ὅτι ἡ «φυλλάδα» τοῦ «ἐξοδιαστικοῦ» ὠνομάζετο κατὰ τοὺς χρόνους τοῦ μοναχοῦ Μαξίμου Σχηματολόγιον. Δικαιοσύνη δὲ δέον ᾿ν᾿ ἀποδοθῇ καὶ διὰ τὴν κατασκευὴν λέξεως ἄλλης ζωὴν ἐχούσης μακροτέραν παρ᾿ ὅσον ἐνομίζομεν. Ἐπανελήφθη πολλάκις ἐν Βενετίᾳ ἡ ἐκτύπωσις τῆς «Καλοκαιρινῆς» τοῦ φιλοπόνου μοναχοῦ Ἀγαπίου Λάνδου, ἐξηγοῦντος τὴν βίβλον ταύτην «περιέχουσαν βίους ἁγίων τινῶν τοὺς ὡραιοτέρους τοῦ καλοκαιρίου, ἀπὸ τὴν πρώτην τοῦ μαρτίου ἕως εἰς τὴν ὕστερην τοῦ αὐγούστου». Ἐπιστεύομεν ὅτι τὴν λέξιν εἰσήγαγεν ὁ Λάνδος εἰς τὴν κοινὴν χρῆσιν. Ἡ διαθήκη τοῦ Μαξίμου διδάσκει ἡμᾶς ὅτι τὴν λέξιν Καλοκαιρινήν, καθ᾿ ἣν ὁ Λάνδος δίδει σημασίαν, ἐγίνωσκεν ἡ ΙΓ΄ ἑκατονταετηρὶς, ἴσως καὶ αἱ πρὶν αὐτῆς.

Αἱ πρὶν αὐτῆς εἶχον γνῶσιν καί τινων λειτουργικῶν λέξεων, διαφθαρεισῶν ὑπὸ λογιμωτάτων δῆθεν διορθωτῶν τῶν ἐκτυπουμένων ἐν Βενετίᾳ ἱεροτελεστικῶν βιβλίων. Εἰς πάντα τὰ τοιαῦτα εὑρίσκω γραφόμενον Θεοτόκιον, ἀντὶ Θεοτοκίου τοῦ διορθωθέντος δῆθεν, καὶ Στιχερόν, ὄχι Στιχηρόν. Ἀλλὰ νομίζω καλὸν ἔργον τὴν εἰς ἀποθήκας κηρίου, καὶ εἰς ὀῤῥεῖα, καὶ εἰς μαγκιπεῖα ἔρευναν, πρὸς εὕρεσιν ψαλτηρίου μονομάχ...

Τὴν προσοχήν μου ἐφείλκυσαν μάλιστα δύο λέξεις, εἰς τὴν ἱστορίαν τῆς ἐκκλησιαστικῆς ἡμῶν μουσικῆς ἀναφερόμεναι. Εἰς τὴν κεντρικὴν, οὕτως εἰπεῖν, βιβλιοθήκην, δῆλα δὴ τὴν ἐν τῇ μονῇ ἐσώζετο Στιχεράριον νεόφωνον,

καὶ ἐν τῇ βιβλιοθήκῃ τῇ εἰς τὸ Μετόχιον Αὔλακος, ἐσώζετο Στιχεράριον παλαιόφωνον.

Εἰς τὴν ΣΛΗ΄ συνεδρίασιν τοῦ Συλλόγου Μεσαιωνικῶν Γραμμάτων, τῇ 27 φεβρουαρίου 1938 συγκροτηθεῖσαν, ἀνεκοίνωσα μόνον τὴν ἀναγραφὴν τῶν βιβλίων τῆς τε κεντρικῆς, ὡς εἰπεῖν, μονῆς καὶ τῶν δύο μετοχίων αὐτῆς, ἀναγγείλας ὅτι ἀπεκδέχομαι ἀπὸ τῶν ἐν τῇ συνεδριάσει παρόντων ἑταίρων κ.κ. Ἐμμανουὴλ Φαρλέκα καὶ Σίμωνος Καρᾶ τῶν εἰς τὴν ἐκκλησιαστικὴν ἡμῶν μουσικὴν ἀσχολουμένων, φρονῶν ὅτι θὰ συμφωνήσωσι μετ᾽ ἐμοῦ ὅτι, τὸ μὲν παλαιόφωνον τοῦ Αὔλακος Στιχεράριον ἦτο γεγραμμένον κατὰ τὴν πα-



λαιάν, τὴν συνθετικήν, μουσικὴν γραφήν, τὸ δὲ νεόφωνον τῆς Κοτινῆς Στιχεράριον ἐγράφη κατὰ τὴν νέαν, τὴν ἀναλυτικήν, μουσικὴν γραφήν, ἧς τὰ ἀναρίθμητα σημαδόφωνα ἀνέγνων κατὰ πρῶτον εἰς τὸ τοῦ Κωνσταντίνου Σάθα Δοκίμιον περὶ τοῦ θεάτρου καὶ τῆς μουσικῆς τῶν βυζαντινῶν. Οἱ δύο λόγιμοι συνεργάται ἡμῶν ἀπεδέξαντο τὴν ὑπόνοιάν μου ταύτην.

Ἀλλ᾽ εἰς τὴν Διαθήκην τοῦ Μαξίμου λέξεις τινὲς ἐν χρήσει παρ᾽ ἡμῖν μετὰ τὴν Ἅλωσιν, καὶ ἕως σήμερον, ἐχρησιμοποιοῦντο κατὰ τὴν ΙΓ΄ ἑκατονταετηρίδα ἐν Λυδίᾳ τῆς Μικρασίας, ἴσα καὶ πρότερον· ἐπὶ παραδείγματι ἡ λέξις μαστραπάς, τουρκικὴ ἴσως.

Ἀλλ᾽ οὔτ᾽ αὐτὴ μὲ ἐκπλήττει, οὔτε ἡ χρῆσις σλαβωνικῶν σκεπασμάτων ἐν Λυδίᾳ καὶ Καρίᾳ κατὰ τοὺς χρόνους

ἐκείνους ὅτε παρ᾽ἡμῖν ἐχρησιμοποιοῦντο αἱ τῶν τότε χρόνων ῥωσσικαὶ «κουβέρτες» ἢ ἴσως «ἡ κάπες»=αἱ κατασκευαζόμεναι καὶ σήμερον ἐκ τοῦ ἀρχαϊκοῦ κωδίου, τῆς «προβιᾶς» τῶν προβάτων. Ἤδη οἱ ῥῶσσοι ἦσαν γνωστοὶ εἰς τὸ κράτος ἡμῶν καὶ εἰς τὸ Αἰγαῖον ἀπὸ τοῦ τέλους τῆς ΙΑ΄ ἑκατονταετηρίδος, ὡς εἰς τὸ χρυσόβουλλον Ἀλεξίου Α΄ τοῦ Κομνηνοῦ περὶ τῆς μονῆς τῆς Πάτμου βλέπομεν. Ἐγράφη δὲ τὸ χρυσόβουλλον τῷ 1088.

Ἡ Διαθήκη, γεγραμμένη ἐπὶ πολλῶν τεμαχίων μεμβράνης, συγκεκολλημένων, ἐκτείνεται εἰς μῆκος τριῶν γαλλικῶν μέτρων, καὶ ἐπέκεινα, τὸ δὲ μῆκος ἑκάστου στίχου ἰσοῦται πρὸς 24 ἑκατοστά. Μεθ᾽ ὅσα καὶ ἂν βλέπωμεν λάθη εἰς τὸ βυζαντινὸν τοῦτο γράμμα, σωζόμενον ἐν τῇ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ Βατοπεδίου, πολλῆς ὑπάρχει τὸ ταλαίπωρον προσοχῆς ἄξιον ἀπὸ τοπογραφικῆς, ἱστορικῆς, καὶ γλωσσικῆς ἀπόψεως.

**† Μάξιμος ἱερομόναχος καὶ κτίτωρ τῆς Ὑπεραγίας Θεοτόκου τῆς Κοτινῆς οἰκείᾳ χειρὶ προέταξα †.**

† Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει, ὁ Θεοπάτωρ Δαυὶδ ἐκέκραγε καὶ βασιλεύς, ἐν πνεύματι ἁγίῳ κινούμενος· πάντως καὶ αὐτὸς τὴν τοιαύτην φωνὴν εἰς νοῦν βαλόμενος, ἀληθῶς ἐπέγνων τὰ ἀνθρώπινα πάντα οὕτω θᾶττον μαραίνεσθαι, καὶ πᾶσαν τὴν ἀνθρωπίνην εὐημερίαν καὶ δυναστείαν ψεῦδος εἶναι· πᾶς γὰρ ἄνθρωπος ψεύστης, τουτέστιν ἀνθρωπίνη διαβίωσις περιπλανωμένη ἀνόνητα καὶ φανταζομένη τὰ μὴ πρέποντα· ἀνθρώπου γὰρ παντὸς δόξα ὡς χόρτος ματαιότητι ὁμοιουμένη, τοῦτο μόνον ἔχουσα ἰσχυρὸν καὶ καθ' ὁμοίωσιν Θεοῦ, τὸ ἐν εἰκόνι αὐτοῦ διαπορεύεσθαι, καὶ κατὰ τοῦτο καὶ ἐλαττοῦσθαι παρ' ἀγγέλους βραχύ τι τὴν ἀνθρωπίνην φύσιν, τῇ τοῦ πνεύματος κινύρᾳ Δαβὶδ ἀνεβόησεν. Ὡς κατ' εἰκόνα Θεοῦ πλασθεὶς καὶ αὐτός, εἰ καὶ τὸ κατ' εἰκόνα οὐκ ἐφύλαξα ἀμείωτον, οὐδὲ τὸν ἀληθῆ ἄνθρωπον ἐν ἐμοὶ συνετήρησα [ἐφθαρμένη λέξις], τὰ κατ' ἐμὲ ἄρτι δῆλον πᾶσι ποιῆσαι ἠθέλησα, φοβούμενος μήπως ἡ συνήθης ἀπομάκρυνσις τῆς ἀνθρωπίνης φύσεως καταλαβοῦσα καὶ εἰς ἐμὲ τὰ κατ' ἐμὲ εὑρήσει ἀδιεύθετα. Καὶ πρωτοτύπως μὲν ἀφίημι πᾶσι χριστιανοῖς ὀρθοδόξοις τὴν ἐν Χριστῷ ἀγάπην καὶ συγχώρησιν, εἶτα διατίθημι οὕτως. Καὶ γὰρ τοῦ τεκόντος με ἐκείνου μοναχοῦ κυροῦ Γρηγορίου τὴν βαναυσιακὴν τέχνην μετιόντος, καὶ πρὸ τοῦ ἐμοῦ τόκου ἐπὶ τῷ ὄρει

ἀνελθόντος μετὰ τῶν συνεπομένων αὐτῷ μαθητῶν, ἐν ᾧ καὶ ἡ μονὴ ἵδρυται πρὸς συλλογὴν δῆθεν καρβώνων, περιεβλέψατο ὧδε κἀκεῖσε τὴν τοῦ τόπου θέσιν, καὶ ταύτῃ δὲ ὡς εἰκὸς ἡδυνθεὶς εἰς εὐχὴν ἐτράπη, ὡς εἴπερ δώοι Θεὸς καὶ ἐν ταύτῃ ἀμπελῶνα καταφυτεῦσαι, καὶ εὐκτήριόν τι δείμασθαι εἰς ὄνομα τιμώμενον τῆς Ὑπεράγνου ἡμῶν Θεομήτορος καὶ ἄπαυστος αὐτῷ ἡ λειτουργία καὶ ἡ ἱεροτελεστία οἰκονομηθήσεται, Θεοῦ συναιρουμένου. Ἡ αἴτησις τοιγαροῦν τούτου εἰς ἔργον ἤδη ἠνύετο κατὰ τὴν εὐαγγελικὴν φωνὴν τὴν φάσκουσαν· πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἀποκαθάρας γοῦν τὴν παρακειμένην δασεῖαν ὕλην τῷ ὄρει, μικρόν τι ἐν αὐτῷ κατεφύτευσεν ἀμπέλιον· πρὸ ἐμοῦ δὲ θῆλυ παιδίον πατὴρ ἀπογεννήσας, εἶθ' οὕτως ἐμέ, καταλαμβάνει τῇ τετοκυίᾳ μοι θάνατος τὸν χοῦν ἀποδεδοκυίᾳ τῷ χοΐ, καὶ σὺν αὐτῇ καὶ τὸ πρὸ ἐμοῦ γεννηθὲν θῆλυ παιδίον. Ἐγκαταλειφθεὶς οὖν ἔγωγε τῇ μάμμῃ μου, καὶ παρ' αὐτῆς γαλακτοτροφηθεὶς καὶ εἰς φῶς προαχθείς, ὁ πατὴρ μὴ μελήσας περὶ τῶν ἐν τῷ βίῳ, ἀλλ' ἐκ ποδῶν ὡς εἰπεῖν πᾶσαν σύγχυσιν καὶ τύρβην ποιήσας, μυκτηρίσας φωνὰς φορολόγους κατὰ τὸ σολομώντειον, ἐπὶ τῷ ὄρει ἀνῆλθεν ἐν ᾧ καὶ ἐδείματο εὐκτήριον οἶκον τὸν εἰς ὄνομα τιμώμενον τῆς Ὑπεράγνου ἡμῶν Θεομήτορος· κελλίον τε ποιήσας καὶ περιθριγγώσας, κατὰ μόνας ἦν τῷ Θεῷ ἐκλιπαρῶν, ὅπως εἰς ἐπίδοσιν ἔλθῃ τὸ παρ' αὐτοῦ ἀνεγερθὲν εὐκτήριον. Ἐμοῦ δὲ τότε τὴν πρώτην ἡλικίαν ἀμειψαμένου, καὶ ἐν τῇ τῶν γραμμάτων σχολῇ διατρίβοντος, ὁ πατὴρ διὰ φροντίδος ὅτι πολλῆς εἶχεν ἐκδοῦναι τινὶ τῶν τότε μοναχῶν εἰδότι γράμματα τὸ τοιοῦτον εὐκτήριον, καὶ τὰ περὶ τοῦτο καταφυτευθέντα ἀμπέλια. Καὶ δὴ τινὲς μὲν προσήρχοντο, οἴκαδε δὲ θᾶττον ὑπέστρεφον διὰ τὸ τοῦ ὄρους ἀπηγριωμένον, δυσχερές τε καὶ ἀπαράκλη-

τον. Μόνος τοιγαροῦν προσκαρτερῶν ὁ πατὴρ ἐν τῷ τόπῳ οἷα πτηνόν, καὶ τὴν παράκλησιν καὶ παραμυθίαν ἔχων ἐκ Θεοῦ, συνοικεῖ μετὰ τοῦ πάππου μου τοῦ μοναχοῦ Νήφωνος· μετὰ μικρόν τι συνανῆλθε καὶ ὁ πρὸς πατρὸς θεῖος μου, εἶτα καὶ ὁ ἕτερος ὁ πρῶτος· φύσει αὐξηθέντες οὖν καὶ γεγονότες περίπου τῶν ἓξ μοναχῶν, ἔκτοτε τοῦ προτέρου σκοποῦ εἴχοντο, τὸ ἐκδοῦναι τὸ τοιοῦτον μονίδιον πρός τινα ἄξιον μυστηπόλον δι' οὗ ὀφείλουσιν ἐπιτελεῖσθαι τὰ τῆς ἑωθινῆς καὶ ἑσπερινῆς δοξολογίας εἰωθότα, πρὸς δέ, καὶ τὰ τῆς θείας ἱερουργίας. Τοῦτο γοῦν ἦν τὸ σπουδαζόμενον· σχολάζων δ' ἔγωγε ἅπαξ τῆς ἑβδομάδος, οἷα τὰς ἄλλας ἐν τῇ τῶν γραμμάτων σχολῇ ἀναλίσκων, ὁ πατὴρ ἀναμαθὼν ὡς εἴ τις θεοφορούμενος ἀνὴρ οἰκεῖ ἐν τῇ χώρᾳ τοῦ Σαμψών, ἀπελθὼν ἐχρήσατο συμβούλῳ τῷ τιμιωτάτῳ ἐκείνῳ νεαμονίτῃ κυρίῳ Βασιλείῳ περὶ τοῦ τοιούτου· καὶ δὴ τὰ ἄριστα συμβουλεύσαντι καὶ τὰ τῆς ἀρετῆς αὐτοῦ ἐπειπόντι ὡς πεῖραν αὐτοῦ πλείστην ἔχοντος, ἀπίῃ ἐκεῖσε, καὶ τοῦτον ἔν τινι κελλίῳ εὑρών, καὶ τὴν ἄφιξιν τὴν πρὸς αὐτὸν κοινωσάμενος, καὶ τὰ τῆς ἐπιδημίας, καὶ γνοὺς τὸν σκοπόν, συνέθετο τοῖς παρ' αὐτοῦ αἰτουμένοις ὁ θεῖος ἀνήρ, καὶ συνανῆλθε μέχρι καὶ τοῦ μοναστηρίου, ἔχων ὁ τοιοῦτος ἀνὴρ ἑπομένους αὐτῷ δύο τῶν μοναχῶν μαθητάς· τῷ τόπῳ δὲ ὡς εἰκὸς εὐφρανθεὶς ἅτε τὸ ἥσυχον καὶ ἀτάραχον ἔχοντι, ἠγάπα γὰρ ὁ ἀνὴρ ὡς τὰ πολλὰ τὴν εἰλικρινεστάτην ἡσυχίαν διὸ πρὸ πολλῶν τῶν χρόνων ἐν αὐτῇ διέτριψεν, εἰδὼς ὁποία ἦν ἡ ἐκ ταύτης ὠφέλεια. Ἐπὶ τῇ τοιαύτῃ γοῦν διαγωγῇ καὶ μελέτῃ θείων λογίων οὗτος σχολάζων, ὁ πατὴρ ἔκτοτε διὰ σεβάσματος εἶχε πολλοῦ καὶ ὡς ἰσάγγελον τοῦτον διελογίζετο· τοῦ χρόνου τοιγαροῦν προϊόντος ἐμοῦ καὶ ἐν αὐτῷ τῷ ἀνδρὶ σχολάζοντός μου καὶ θεωμένου τὸ τοῦ ἀνδρὸς ἐνάρετον, ἄγρυπνόν τε καὶ

φιλόθεον, καὶ τὴν ξένην ἐκείνην ὑποπίασιν τῆς σαρκὸς διὰ τῆς εἰλικρινεστάτης ἐγκρατείας, καὶ ἄλλα πολλὰ ἃ οὐ δύναμαι ἀπαριθμεῖν, κέντρῳ καὶ αὐτὸς θεϊκῷ νυγείς, τὸ συνεῖναι μετ' αὐτοῦ καὶ συνδιαιτᾶσθαι δι' ἐφέσεως εἶχον, καὶ ὡς κηρίον μέλιτος τὰ τούτου ἐντρυφᾷν θεῖα λόγια. Ὁ τοιοῦτος γοῦν θεῖος ἀνὴρ εἶχέ τινας λόγους τοῦ ἐμοῦ πατρὸς ἐπὶ τῷ συντεθῆναι με καὶ τὴν μοναχικὴν δέξασθαι ἀπόκαρσιν. Ὅς οὐ διέλειπέ ποτε ὁσημέραι παραινεῖν μοι, νουθετεῖν ὡς πάντα τὰ τοῦ κόσμου ἡδέα πικρότερά εἰσι δηλητηρίων φαρμάκων· ἐμοῦ δὲ μὴ εἰδότος τὴν πνευματικὴν ἡδύτητα, ἅτε ἀτελοῦς τῇ ἡλικίᾳ ὄντος μου, ἴτω ἔφασκον ὁ χρόνος τῆς ἐν ἐμοὶ συναρμόσεως καὶ ἔκτοτε τὴν μοναχικὴν ἀπόκαρσιν ἀντ' αὐτῆς ἕλομαι· ἀλλ' αὐτὸς οὐκ ἀπέκαμε νουθετῶν καὶ τὰ τῆς φοβερᾶς κρίσεως προσεπαπειλεῖν· ἐνδελεχῶς δὲ προσκείμενος, ὡς εἴ τις ῥανὶς τὴν ἐμὴν λιθώδη καρδίαν ἔκοιλεν εἰς ὑποδοχὴν λόγου, ἢ ἀληθῶς εἰπεῖν ὡς κηρὸν εἰργάσατο, διὸ καὶ αἱ τούτου παραινέσεις οὐκ εἰς κωφὸν εἰπεῖν ᾄδην (;) ἀλλ' εἰς αἴσθησιν καρδίας μοι ἐγένοντο εἰς ἔργον ἤδη ἀνύουσαι πολλὰ ἐσύστερον ὑπερευχαριστεῖ τῇ Μητρὶ τοῦ Λόγου ὅτι καὶ τῆς πνευματικῆς ἡψάμην ἡδύτητος ἀμέλει καὶ ἐν τῇ ἑορτῇ τῆς ὑψώσεως τοῦ Τιμίου Σταυροῦ ἀποκείρας ὁ θεῖος ἀνήρ· καὶ τὰ ἱερὰ ἄμφια ἀμφιεσάμενός με χαρά μοι ἐγένετο ἄφατος ὡς οὐ πρὸς πάλην ἀλλὰ πρός τινα νυμφικὴν παστάδα εἰσαχθείς· ὅθεν καὶ εἰς ἀγῶνας πνευματικοὺς ἑαυτὸν ἐκδοὺς ὀπαδὸς ἦν τοῦ τοιούτου θείου ἀνδρὸς συναγωνιζόμενος ἐπὶ τῇ τηρήσει τῶν θείων ἐντολῶν, κἂν οὐ κατὰ τὸν εἰκότα λόγον τοῦτο φαίην. Μετὰ δὲ τὴν ἐμὴν ὡς προλέλεκται ἀπόκαρσιν συνὼν μετ' ἐμοῦ ὁ ῥηθεὶς ἀνὴρ δύο ἔτη τῇ τῆς μονῆς τοῦ Κουνίου προεδρείᾳ τετίμηται, καταλείψας ἐν αὐτῇ τῇ μονῇ ἐμὲ τοῦ προΐστασθαι· τῆς δὲ μονῆς εἰς ἐπίδοσιν ἐρχομένης Θεοῦ

εὐδοκοῦντος, μοναχοὶ ὅτι πλεῖστοι συνηθροίζοντο κατ' ἔτος, ποτὲ μὲν δύο καίδεκα, ποτὲ δὲ ὀκτὼ καίδεκα καὶ μέχρι τῶν εἴκοσιν. Τούτων δ' οὕτως ἐχόντων, εἰς τὴν ἐκτὸς ἀκινήτων καὶ αὐτοκινήτων πραγμάτων ἐσπεύσαμεν ἅτε τοῦ λαοῦ χρήζοντος κατὰ ἀναλογίαν τῆς ἀναγκαίας τροφῆς, καὶ τῆς ἐνδυμενίας. Τοῦ ναοῦ τοίνυν τοῦ παρὰ τοῦ πατρὸς ἀνεγερθέντος ἐν στενώσει ὄντος καὶ μηδὲ τρεῖς χωροῦντος, εἰς ἀνέγερσιν εὐρυχωροτέρου θείου ναοῦ ἐπεσπεύσαμεν· ἐπειδὴ πρὸς τοῦτο ὁ πάντα λυσιτελῶν Θεὸς καὶ πάντων ἔφορος καὶ πρὸς τὸ συμφέρον οἰκονομῶν, οὐδὲ τὴν ἡμετέραν παρεῖδεν ἀσθένειαν καὶ πτωχείαν, ἀλλ' ἐν τοῖς αἰτουμένοις οὓς ὑπέκλινε, πλείστην ὅτι ὕλην ἀγείρας, τὴν νῦν περικαλλῆ ἀνήγειρα ἐκκλησίαν μηδοτιοῦν ἐπὶ τῇ ταύτης οἰκοδομῇ τινι δόντι ἢ ὀρέξαντι· γυμνῆς δὲ οὔσης τῶν ἱερῶν εἰκόνων, θεόθεν ὁδηγηθεὶς ὁ ἀλλαγάτωρ κυρ Φωκᾶς δι' ὑλογραφίας ταύτην ἱστόρησεν ἐκδοὺς μόνα τὰ χρειώδη· ἡ γὰρ τροφὴ τῶν τὴν ὑλογραφίαν ποιούντων ἐφήμερος πᾶσα· καὶ ἄλλη ὑπηρεσία ἐκ τῆς μονῆς ἦν, κἀντεῦθεν ἀπηρτίσθη· ὁ αὐτὸς δέδωκε καὶ τὰ τῆς νεωστὶ τραπέζης καταβληθέντα νομίσματα ἅμα τῷ συνοικοδομηθέντι μαγειρείῳ καὶ μαγκιπίῳ. οἷς καὶ δώοι Θεὸς σὺν τῇ εὐνῇ τὴν ἀμοιβὴν τοῦ καλοῦ, οἷα τούτων σὺν οἷς ἐποίησαν ἀγαθοῖς, καταβιβασάντων καὶ τὸ ὕδωρ τὸ διερχόμενον ἐντὸς τῆς μονῆς οἳ καὶ ὀφείλουσι κεκτῆσθαι ἐν τῇ μονῇ τὸ ἀδιαλείπτως μνημονεύεσθαι καὶ κατατεθῆναι ἐν αὐτῇ ἔνθα ἂν αἱρήσωνται. Καὶ ταῦτα μὲν τὰ τῆς μονῆς ὅπως καὶ ποῦ κατήντησαν. Μετοχίου δὲ τινὸς τῆς μονῆς μὴ ἐχούσης μηδ' ὁ Θεὸς τὴν ἀνακωχὴν κεκτῆσθαι οἱ ἐν Χριστῷ ἀδελφοί, πρῶτον μὲν ἀνήγειρα μικρόν τι εὐκτήριον ἐπ' ὀνόματι τιμώμενον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου ἐπὶ τοῖς οἰκήμασιν οἷς μοι ἐξέδοτο ἡ σύμβιος ἐκείνου τοῦ Βεργῆ βοή-

θειαν δοῦσα τὴν κατὰ δύναμιν, ἐν ᾧ καὶ ἦμεν οἰκοῦντες μέχρι καί τινος. Εἶθ' οὕτως τῆς μοναχῆς κυρ Ἀθανασίας τῆς Μαγγαφαίνης ἐκδεδωκυίας πρός με τὰ προσόντα αὐτῇ ἅπαντα οἰκήματα μεθ' ἧς ἀνήγειρα ἐκκλησίαν ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐλεήμονος· ὡσαύτως καὶ τὰ διαφέροντα αὐτῇ ἅπαντα ἀκίνητα, τὸ ἀμπέλιον φημὶ τὸ ἐν τῷ ἀγριδίῳ, ἕτερον τὸ ἐν τοῖς Κοβένοις μετὰ τῶν ἐν αὐτῷ συκαμινέων δένδρων καὶ τοῦ ὑδρομύλου ἐργαστηρίου τοῦ ὄντος ἐν τῇ αὐτῇ Ποταμίᾳ ὃ καὶ περιῆλθεν αὐτῇ ἐξ ἀγορᾶς, τετύπωτο καὶ παρ' ἡμῶν αὐτῇ ὅσα δὴ καὶ τετύπωτο ἅπερ καὶ πέρας εἴληφον μέχρι καὶ τῆς παρούσης ζωῆς αὐτῆς· τὰ δὲ μετὰ θάνατον αὐτῆς μνημόσυνα ἄληκτα ὀφείλουσιν εἶναι σὺν τῷ χρηματίσαντι αὐτῆς συζύγῳ ἐκείνῳ τῷ Μαγγαφᾷ. Περιεποιησάμην καὶ ἐν τῇ Ποταμίᾳ τοῦ Αὔλακος ἕτερον μετόχιον περιθριγγώσας αὐτὸ συνεργείᾳ τοῦ μοναχοῦ Ἱλαρίωνος τοῦ καὶ Ἰσαακίου. Ὁ αὐτὸς δὲ Ἰσαάκιος προσαφιέρωσεν ἐν τῇ μονῇ καὶ ἐκ τῶν προσόντων αὐτῷ γονικόθεν χωραφίων τῶν διακειμένων εἰς τὰ Ἐπίζυγα ἀφ' ὧν εἶχε μερίδιον τὰ ἡμίση, ἤτοι ἀπὸ τῆς ὅλης ὑποστάσεως τὸ τέταρτον· ἡ τούτου δὲ χρηματίσασα γυναικαδέλφη τὴν ὅλην αὐτῆς ἣν εἶχε μερίδα τῶν χωραφίων συνεργείᾳ καὶ αὐτοῦ. Ἀλλὰ περὶ τῶν διαφερόντων τῇ μονῇ κτημάτων καὶ πραγμάτων ἄλλων τοιούτων μνησθεὶς γὰρ πρῶτον ὅπερ μέλλει ὁ μετ' ἐμὲ ὀφείλων ἡγουμενεύειν καὶ ὁποίαν τὴν δίαιταν κεκτῆσθαι οὗτος καὶ οἱ ὑπ' αὐτὸν μοναχοί, ἐν δευτέρᾳ ἅπαντα τάξει τίθημι δι' οὗ διορίζομαι τὴν θείαν ὑμνῳδίαν οὕτως τελεῖσθαι· μὴ ἄλλως ἄρχεσθαι ταῖς ἑσπεριναῖς δοξολογίαις, εἰμὴ πρῶτον ὁ ταχθεὶς παρὰ τοῦ καθηγουμενεύοντος ἐκκλησιαρχεῖν τὸ τυπικὸν ἐπὶ χεῖρας φέρων πρὸ τοῦ κρούσματος τοῦ ξύλου καὶ τοῦτο ἀναγινώσκειν ἠκριβωμένως καὶ τὸ διατατόμενον παρ'

αὐτοῦ ποιεῖν ἀπαραθραύστως· τὸ αὐτὸ καὶ ἐν ταῖς ἑωθιναῖς δοξολογίαις· ἐν αὐτῇ δὲ τῇ δοξολογίᾳ, ὀφείλει διατηρεῖσθαι παρὰ τῶν ὅλων ἐν Χριστῷ ἀδελφῶν ἡ σιωπὴ καὶ μὴ συντυχεῖν τισὶ προσλαλεῖν κἂν οἷοι ἄρα καὶ ὦσιν· ὀφείλει δὲ ὁ προεστὼς πάντας τοὺς ἐν αὐτῇ ἐνασκουμένους μοναχοὺς ἄγειν εἰς τὸ κοινοβιακῶς συζῆν· καὶ μηδένα ἰδιάζοντα εἶναι ἢ ἰδιοβιοῦντα καὶ ἑαυτοῖς θησαυρίζειν, ἀλλὰ πάντας ὁμοῦ μιᾶς καὶ τῆς αὐτῆς ἀπολαύειν τραπέζης καὶ τῶν αὐτῶν ἁλῶν· οὕτω γὰρ ἐν αὐτοῖς τὸ ὁμόγνωμον διαφυλαχθήσεται καὶ ὁμονοητικὸν καὶ φιλάδελφον· τὸ γὰρ ἰδιάζον πάντως τῶν ἄλλων κεχώρισται, τὸ δ᾽ ἀποκεχωρισμένον ἰδιοτριβεῖ τε καὶ ἰδιορρυθμεῖ, τὸ δὲ τοιοῦτον ἀκατάλληλον τοῦ κοινοῦ ὡς τοῦ ἰδίου μᾶλλον ἢ ἑτέρου προνοητικὸν καὶ φροντιστικόν, καὶ τῆς εἰρήνης καὶ ὁμονοίας ἀναιρετικὸν καὶ ἀφανιστικὸν ὥσπερ τὸ αὐτόκοινον γενόμενον συνδετικὸν ὂν καὶ εἰρηναγωγόν, καὶ πάσης συμπνοίας καὶ ὁμονοίας ὡς προείρηται αἴτιον. Οἱ ἐκκλησιαστικοὶ ὀφείλουσι κεκτῆσθαι τὴν προσήκουσαν τιμὴν ἔν τε καθέδραις, στάσεσι καὶ φιλοτιμίαις, ὡς ὀφείλοντες ὑπὲρ πάντων ὑπερεύχεσθαι, καὶ ἐπαγρυπνεῖν, καὶ δι᾽ αὐτῶν συνίστασθαι τὸ εἰρηνικόν τε καὶ ἀτάραχον. Τῷ καθηγουμενεύοντι διορίζομαι πρᾶον εἶναι, καὶ προσηνῆ, καὶ εὐκατάνυκτον, εἰρηνικόν, πρὸς πάντας ἀμνησίκακον, μὴ ὑπεραίρεσθαι τῶν ἰδίων προβάτων μηδὲ οἰοῖσθαί τινα εἶναι αὐτὸν παρ᾽ ὃ τὴν ἐν τῇ μονῇ εὐτελέστατον, ἀλλ᾽ ἐπίσης τοῖς ὅλοις ἑαυτὸν λογίζεσθαι πολλάκις εἰσέτι καὶ αὐτοῖς διακονήσας. Οὐ γὰρ ἦλθε, φησὶν ἡ αὐτοαλήθεια Χριστός, διακονηθῆναι ἀλλὰ διακονῆσαι, καὶ θῆναι τὴν ψυχὴν ὑπὲρ πολλῶν. Ὁ αὐτὸς ὀφείλει κεκτῆσθαι τὸ παραινετικὸν καὶ διδασκαλικόν· ὁ ἐξάγων γάρ, φησίν, ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται. Καὶ τὸ ὑπόδειγμα ἑαυτὸν εἶναι τοῖς πᾶσι καὶ ἃ δεῖ αὐτὸν διδάξαι ποιῆσαι πρῶτον· οἷος δὲ

ἀπὸ τῶν κοινοβιακῶς συζώντων ἀντάραι βουληθῇ τῷ ἰδίῳ ἡγουμένῳ, νουθετικῶς καὶ παραινετικῶς ἄγεσθαι· εἰδ' οὖν μετὰ πρώτην καὶ δευτέραν καὶ τρίτην νουθεσίαν, ὡς γέγραπται, ἐκδιώκεσθαι τῆς μονῆς ὡς σκανδάλου αἴτιος. Ὁ μέντοι καθηγουμενεύων, μετὰ πάντων ὀφείλει κεκτῆσθαι τὸ νηφάλιον ἐπὶ τοῖς διαφέρουσι τῇ μονῇ πράγμασι, καὶ μὴ νωθρῶς διακεῖσθαι ἐπὶ λύμῃ καὶ ἀφανισμῷ τῶν τοιούτων· εἰ δὲ τἀναντία διαπράττεται, ὀφείλουσι συνέρχεσθαι οἱ μοναχοὶ πρὸς τὸν κατὰ τὴν ἡμέραν ἀρχιερέα Φιλαδελφείας καὶ προσαγγέλλειν ἐπ' ἀληθείας τὰ παρ' αὐτοῦ γενόμενα. Καὶ εἰ μὲν ἀπόσχηται τῆς προτέρας ῥαθυμίας, μενέτω ἐν τῇ οἰκείᾳ ἡγουμενείᾳ, εἰ δ' αὖθις καὶ ἐπιμένει, ἐκβεβλήσθω ἐξ αὐτῆς, καὶ ἕτερος ἀντεισαγέσθω, κατὰ τοῖς θείοις κανόσιν. Εἰ δὲ καὶ συντυχία τις συμβῇ μέσον αὐτῶν τῶν μοναχῶν καὶ τοῦ ἡγουμένου, διορθούτω αὕτη παρὰ τῶν ἔξωθεν πνευματικῶν πατέρων· εἰ δ' ἴσως σφοδροτέρως διατείνεται, ἔστω καὶ ἡ ταύτης διόρθωσις παρὰ τοῦ ἀρχιερέως. Ὁ μέλλων δὲ καθηγουμενεύειν, οὕτως ὀφείλει γίνεσθαι· εἰ μὲν εὐπορεῖ ἡ μονὴ εἰς τὸ εἶναι ἐν αὐτῇ τινὰ τὸν καθηγουμενεύσοντα ἄξιον, τῇ συλλογῇ καὶ τῶν ἑτέρων μοναχῶν καὶ θελήσει κατέρχεσθαι τῆς μονῆς καὶ τὴν σφραγῖδα καὶ χειροτονίαν λαμβάνειν ἀπὸ τοῦ κατὰ τὴν ἡμέραν ἀρχιερέως· εἰ δ' οὐκ ἔχει ἡ μονὴ ἄξιον τοῦ προΐστασθαι αὐτῆς ἐκ τῶν αὐτῆς, λαμβανέτωσαν ἀφ' ἑτέρου τόπου ἀνεπίληπτον βίον ἔχοντα· ὃς δὴ καὶ ὀφείλει ἔχειν πᾶσαν ἐξουσίαν μή τινος πειρωμένου ἀνθίστασθαι αὐτὸν ἐπί τινι εἴδει· οὐ γὰρ ἐξέσται μοναχῷ παρεμποδίζειν αὐτῷ ἐφ' οἷς ἂν ἐθέλῃ. Ἔστω δὲ ἡ τῆς μονῆς πύλη ἀείποτε ἀνεωγμένη· καὶ τοὺς ἐρχομένους οἱ μοναχοὶ ὑποδεχέσθωσαν, εἰς τὸ μηδένα τῶν ξένων ἢ τῶν ἐνδεῶν παρορᾶσθαι, ἀλλ' ἅπαντας φιλοτίμως δέχεσθαι, καὶ φιλοξενεῖσθαι ἐν οἷς ἂν εὐπορεῖν ἔχῃ ἡ μονὴ ποτοῦ καὶ σίτου. Ἡ ἑορτὴ τῆς ὑπεράγνου

ἡμῶν Θεομήτορος ὀφείλει γίνεσθαι κατὰ τὴν εἰκοστὴν πρώτην τοῦ νοεμβρίου μηνὸς ἀπαραθραύστως ἐτησίως, καὶ ὡς δεῖ μεγαλοπρεπῶς, τελουμένης ἐν αὐτῇ φωταψίας μεγάλης, καὶ κατὰ τὴν αὔριον πολυτελοῦς τραπέζης· κατὰ δὲ τὴν αὐτῆς ὀψέ, τὰ μνημόσυνα τῶν κτιτόρων καὶ αὐτὰ φιλοτίμως. Τὴν μέντοι μονὴν οὕτω καταλιμπάνω ἐλευθέραν πάντη καὶ ἀκαταδούλωτον ἀπὸ παντὸς προσώπου ἐκκλησιαστικοῦ ἄρχοντος, καὶ τῶν ἄλλων τῶν τὴν κοσμικὴν μοῖραν ἀποπληρούντων, ἰδιοδέσποτον, αὐτοδέσποτον, πάσης χειρὸς ἐκτός· καὶ ὁ ἡγουμενεύων δὲ ὡς ἐλευθέραν ταύτην παραλαβών, ἐλευθέραν πάντως παρέξει ταύτην τῷ μετ' αὐτὸν ἐκλεγέντι, κἀκεῖνος δ' αὖθις τῷ μετ' ἐκεῖνον, καὶ τοῖς ἐφεξῆς. Καὶ μὴ δεσπόζεσθαι παρά τινος ταύτην κοσμικοῦ προσώπου ἰδίου τινος ἢ συγγενικοῦ, ἢ ἀλλοτριωμένου· μόνον τὴν τοῦ ἡγουμένου σφραγῖδα κεκτῆσθαι τὸν κατὰ καιροὺς ἁγιώτατον μητροπολίτην Φιλαδελφείας· τὴν συνήθη ἀναφορὰν καὶ τῶν ψυχῶν ὅταν δεήσει θεραπείαν τε καὶ διόρθωσιν. Ἄλλο δέ τι δίκαιον ἐν αὐτῇ, οὔτ' αὐτὸν οὔτε τινὰ ἕτερον, κἂν ὁποίῳ ἄρα θεωρῆται βίῳ καὶ ἀξιώματι, βούλομαι ἔχειν. Ὁ μέντοι καθηγουμενεύων ὀφείλει εἶναι ἐκτὸς πάσης κακῆς ὑποψίας, καὶ μὴ ἀμάρτυρον εἶναι τὴν οἰκονομίαν αὐτοῦ· ἀλλὰ μετὰ τῶν μοναχῶν τῶν ἐν γνώσει ὄντων καὶ τῇ τῶν πολλῶν συνέσει διαφερόντων τὰ ἐν τῇ μονῇ ἅπαντα διοικείσθωσαν μέχρι καὶ οἰκτροῦ πράγματος. Τὰ μὲν γὰρ τῆς ἐκκλησίας διὰ τοῦ ἐκκλησιάρχου ὀφείλουσιν εἶναι μεμαρτυρημένα, τὰ τῶν τροφῶν διὰ τοῦ κελλαρίτου, καὶ τὰ τῶν προσόδων καὶ συνεισφορῶν τῶν ὁποιωνδήτινων θεωρουμένων διὰ τοῦ δοχιαρείου· εἰς ταῦτα δὲ πάντα, ἐχέτω ὁ καθηγουμενεύων τὸ αὐθεντικὸν καὶ ἐξουσιαστικόν. Ἐν τῇ τοιαύτῃ δὲ σεβασμίᾳ μονῇ διορίζομαι τοῦτο, μὴ διαπωλεῖν τι τῶν ἐν αὐτῇ μοναχῶν ἐκ τῶν ἀνηκόντων αὐτοῖς ἐνδυμάτων, ἢ ἀν-

ταλλάττειν ἄνευ τῆς τοῦ ἡγουμένου εἰδήσεως· μὴ πλέον πλέκειν παρὰ τὴν ἐνοῦσαν αὐτοῖς χρείαν, ἐπὶ ἀνατροπῇ τῆς κοινῆς εὐταξίας καὶ κοσμιότητος καὶ πνευματικῆς διαγωγῆς. Καὶ ταῦτα μὲν οὕτως· ἐπεὶ δὲ ἐδέησεν ἡμῖν καὶ τὰ προσόντα τῇ μονῇ καὶ τὰ ἐπικτηθέντα παραδηλῶσαι ἐν τῇ παρούσῃ διατάξει, ἔχουσι καὶ ταῦτα οὕτω. Πρῶτον τὰ τῆς ἐκκλησίας· Εὐαγγέλιον κεκοσμημένον καθημερινόν. Τετραευάγγελα τέσσαρα. Ἕτερον Εὐαγγέλιον Κυριακοδρόμιον. Κατὰ Ματθαῖον πρῶτον καὶ δεύτερον ἑρμηνευμένον. Ἕτερον κατὰ Ματθαῖον δεύτερον. Ἕτερον Εὐαγγέλιον κατὰ Ἰωάννην ἐκλογάδην. Τὰ τέσσαρα Εὐαγγέλια διὰ τοῦ Βουλγαρίας ἑρμηνευμένα. Ἑξαήμερος τοῦ Χρυσοστόμου. Ἕτερον τοῦ μεγάλου Βασιλείου. Ἕτερον τοῦ αὐτοῦ. Ἀπόστολοι, βιβλίον καθημερινόν. Προφητεία. Στιχεράριον νεόφωνον. Ὀκτώηχος. Παρακλητικὴ δικάνονος. Συναξάριον. Εἱρμολόγιον. Κονδακάρι. Ἄλλο ἔχον τὰ Ἐξαποστειλάρια τοῦ ὅλου χρόνου. Τριῴδιον. Πεντηκοστάριον. Τυπικὰ δύο. Σχηματολόγιον περιέχον τὴν ἅπασαν ἀκολουθίαν τῆς κηδείας. Μηναῖα τῶν δώδεκα μηνῶν. Μετάφρασις βιβλίου ὁ Σεπτέμβριος. Ἑτέρα τοῦ αὐτοῦ μηνός. Ἑτέρα ὁ Ὀκτώβριος. Ἑτέρα τοῦ Νοεμβρίου μηνὸς ἡμίσεια. Ἑτέρα τοῦ αὐτοῦ περιέχουσα καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος τὸν βίον. Ἑτέρα τοῦ αὐτοῦ μηνὸς ἀρχομένη ἀπὸ τῆς πεντεκαιδεκάτης τοῦ δευτέρου. Ἑτέρα ἀρχομένη ἀπὸ τῆς πεντεκαιδεκάτης τοῦ αὐτοῦ. Εὐαγγέλια λιτὰ δύο. Χρυσοστομικὸν βιβλίον οἱ Μαργαρῖτες. Τοῦ μεγάλου Βασιλείου ἕτερον ἔχον ψαλμοὺς ἑρμηνευμένους καὶ διαφόρους λόγους. Θεολογικὰ βιβλία δύο. Κατηχήσεις τοῦ Στουδίτου. Ὁ Κλίμαξ. Ἐπιστολαὶ τοῦ ἁγίου ἀποστόλου Παύλου ἑρμηνευμέναι. Ἑτέρα πρὸς Ἐφεσίους ἑρμηνευμένη. Αἱ Πράξεις ἑρμηνευμέναι. Ἕτερον βιβλίον αἱ αὐταί. Βιβλίον ὁ Δωρόθεος ἔχον καί τινα διάφορα κεφάλαια τοῦ Μάρκου.

Βιβλίον οἱ Ἀνδριάντες, ἔχον καί τινας λόγους τοῦ Θεολόγου. Ἕτερον βιβλίον περιέχον τὸν Κλίμακα, τὸν Πανδέκτην, καὶ τὰ Ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου. Ἕτερον ὁ Κλίμαξ. Ἕτερον βιβλίον ὁ Πανδέκτης. Βιβλίον περιέχον τὸν βίον τοῦ θείου Χρυσοστόμου. Ἕτερον Χρυσοστομικὸν ἔχον διαφόρους λόγους. Βιβλίον ὁ Βαρλαάμ. Βιβλία τοῦ Ὁσίου Ἐφραὶμ, πρῶτον καὶ δεύτερον. Βιβλίον ἔχον τῆς ὁσίας Μαρίας τὸν βίον, καὶ ἄλλους λόγους διαφόρους. Γεροντικὸν βιβλίον, βαμβακερόν. Ψαλτήριον ἑρμηνευμένον. Βιβλίον βαμβακερὸν, ἔχον διαφόρους λόγους καὶ λόγον περὶ τῶν σεπτῶν εἰκόνων. Ψαλτήρια πέντε. Ψαλτήριον μονομάχ.. Βιβλίον περιέχον τὴν ἅπασαν ἀκολουθίαν τῆς ἑορτῆς. Βιβλίον ἕτερον, περιέχον κανόνας τινῶν ἁγίων. Βιβλίον ἄλλο περιέχον τὸν βίον τοῦ ἁγίου Εὐθυμίου, καί τινων ἁγίων. Κονδάκια τρία τοῦ Χρυσοστόμου. Ἕτερα τρία τοῦ μεγάλου Βασιλείου. Προηγιασμένη. Ἑτέρα. Ἀλλαγαὶ ἐπίσης λευκαί. Πορφυρὴ ἑτέρα. Ἐπιτραχήλια δύο. Ἕτερον χρυσοκλαβαρικόν. Ἐπιμάνικα χρυσοκλαβαρικὰ ὁ Χαιρετισμὸς καὶ ἡ Ἀνάστασις. Ἕτεραι ζυγαὶ δύο. Ποτηροκαλύμματα τμήματα δύο. Ἀὴρ χρυσός. Βλαττία δύο χρυσωμένα ἔχοντα λεοντάρια. Ἕτερον χρυσοκόκκινον, ἔχον μέσον γρίψον. Ἄλλο χρυσοκλαβαρικόν. Ἕτερον ἀσπρόχρυσον. Ἕτερον σαρκεσίν. Ἐνδυταὶ τρεῖς. Μανουάλια ζυγαὶ δύο. Ἕτερα μικρὰ τῆς εἰσόδου. Ἕτερα δύο. Κόσκινα πέντε. Λάμναι δύο τοῦ πέπλου. Ἕτεραι δύο τῶν ἀσωμάτων. Ἄλλαι τρεῖς ἔξωθεν τοῦ προπύλου. Ἑτέρα ἐν τῷ τάφῳ. Σταυρία χυτὰ μετὰ θυμιατοῦ ἐν τῷ θείῳ τρούλλῳ. Ἀπαλλαρέαι χυταὶ δύο. Ἀνεμομιλιάριον τῆς ἐκκλησίας. Εἰκονίσματα μεγάλα τῆς προσκυνήσεως. Ἕτερα ἐν τῷ τέμπλῳ πέντε. Τὸ αὐτὸ τέμπλον: αἱ δώδεκα ἑορταί, μικρὰ εἰκονίσματα τῶν βασιλικῶν ἑορτῶν. Εἰκονίσματα κεκοσμημένα δύο, ὁ Χριστὸς καὶ ὁ ἅγιος Γεώργιος.

Ἐλεφάντινον γλυπτὸν ἡ Κοίμησις καὶ ἡ Γέννησις. Καὶ ἕτερον μικρὸν ἡ Κοίμησις κεκοσμημένον. Ἕτερον ὁ Ἀρχιστράτηγος ἐκ χαλκοῦ ἱστορισμένον. Εἰσὶ καὶ ἐν τῷ Μετοχίῳ βιβλίον μηναῖον ἐν ᾧ ὁ Σεπτέμβριος καὶ ὁ Ὀκτώβριος. Ἕτερον βαμβακερὸν, περιέχον μῆνας ἕξ. Ἕτερον ὁ Μάρτιος. Ἕτερον ὁ Ἀπρίλιος. Ἕτερον ὁ Μάιος. Ἕτερον ὁ Ἰούνιος. Ἕτερον ὁ Ἰούλιος καὶ ὁ Αὔγουστος. Ἕτερον ὁ Ὀκτώβριος. Εὐαγγέλιον Κυριακοδρόμι. Ἀπόστολος λιτός. Προφητεία. Στιχεράριον. Τυπικόν. Εὐχολόγιον. Ψαλτήριον. Συναξάριον μηνῶν ἕξ. Τριῴδιον. Κονδάκιον χρυσοστομικόν. Ἔστι μὲν τῇ μονῇ βιβλίον περιέχον τὰ θεοτόκια τοῦ ὅλου χρόνου καὶ Μετάφρασις Καλοκαιρινή. Ἐν τῷ Μετοχίῳ ἀλλαγὴ μία καὶ ἐπιτραχήλιον. Ἐν τῷ Μετοχίῳ τοῦ Αὔλακος εἰσὶ ταῦτα. Ἑορτολόγιον βαμβακερὸν μηνῶν ἕξ. Ἕτερον βέβρανον δι' ὅλου τοῦ χρόνου. Τυπικόν. Ψαλτήριον. Ὀκτώηχος. Παρακλητικὴ δικάνονος. Ἑτέρα μικρά, βαμβακερὴ, ἔχουσα διαφόρους κανόνας. Προφητεία. Ἀπόστολος. Κονδάκι χρυσοστομικόν. Ἀλλαγὴ μία. Βλαττία δύο. Ἐνδυτή. Καὶ λάμναι δύο. Χαλκωματικὰ ταῦτα. Χαλκοτζύκια πέντε· τὰ μὲν τρία μεγάλα, τὰ δὲ δύο μικρά. Κακάβια μεγάλα δύο. Πυρροιστία. Λεκάναι δύο. Κεραστικὰ τέσσαρα· ἀφ' ὧν τὰ δύο μεγάλα. Κουκούμιον ἕν. Καδδάριον ἕν. Χαλκοστάμνα. Λυχνίαι δύο. Μαστραπάδες τρεῖς. Ἀνεμομιλιάρια δύο. Κόνδαι δύο. Πυρρομάχαιρα. Ἐργαστήριον κωνοδρομικόν. Ἀκμόνια δύο. Καὶ ἡ ἄλλη ἅπασα ἀκολουθία τοῦ ἐργαστηρίου. Λισκάρια δεκαεπτά. Ἀξινάρια τέσσαρα. Τζιήρα ἑπτά. Ὑνία δέκα. Κλαδεπτήρια τέσσαρα. Πιθάρια ἀρχαῖα τριάκοντα. Ἕτερα τζυκαλιναὶ τριάκοντα. Ἄρκλαι ἕξ. Τραπέζια διάφορα. Ρουχικὰ ταῦτα. Πηλωτοπροσκέφαλα βαμβακόστομα τέσσαρα· ἔρια τεσσαράκοντα ἐφαπλώματα βαμβακερὰ τέσσαρα. Σθλαβηνικὰ ἑκατόν. Ἐνάπλια τέσσαρα. Ἐπεύχιον ἕν. Σάβανα δύο.

Σινδόνια καὶ προσόψια. Περιήλθοσάν μοι κατὰ διαφόρους χρόνους χωράφια ἐν τῇ τοποθεσίᾳ τοῦ Αὔλακος ταῦτα· ἤγουν χωράφιον τὸ ἐπονομαζόμενον τῆς Ρυμοῦ, περιελθόν μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ Στρατήγη· ἓν ἐν τῇ τοποθεσίᾳ τοῦ Κυαμίτου εἰς πρόβατα δεκατρία· ἕτερον χωράφιον τοῦ Γραντάλη ἐν τῇ αὐτῇ τοποθεσίᾳ· ἕτερον χωράφιον τοῦ βασιλικοῦ δρόμου ἀγορασθέν· τοῦ Λεντιανοῦ χωράφιον ὡσεὶ μοδίων εἴκοσιν ἐν τῇ αὐτῇ τοποθεσίᾳ, περιελθόν μοι ἐξ ἀγορασίας εἰς ὑπέρπυρα τέσσαρα· χωράφιον τῆς Μαζαρίνας ἐν τῇ αὐτῇ τοποθεσίᾳ κάτωθεν τοῦ βασιλικοῦ δρόμου· ἕτερον τῆς αὐτῆς Μαζαρίνας εἰς τὴν λίμνην· ἕτερον τῆς αὐτῆς εἰς τὴν Βαλανιδίαν· χωράφιον ἐν τῇ τοποθεσίᾳ τοῦ Κυαμίτου ὅπερ περιῆλθέ μοι ἀπὸ χαριστικῆς τοῦ Παπᾶ Ἀγαπητοῦ· ἕτερον χωράφιον ἐν τῇ αὐτῇ τοποθεσίᾳ περιελθόν μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ τοιούτου ἱερέως· ἕτερον χωράφιον τοῦ Καλαμούτζη καὶ τοῦ πατρὸς αὐτοῦ περιελθόν μοι εἰς ὑπέρπυρα τέσσαρα· χωράφιον ἕτερον ἐν τῇ αὐτῇ τοποθεσίᾳ τοῦ Ἀρβαντηνοῦ ἄνωθεν τῶν ῥάμνων, περιελθόν μοι εἰς ὑπέρπυρα δύο· χωράφια τὰ πέρα τοῦ Αὔλακος περιελθόντα μοι ἀπὸ Ἀναγνώστου ἐκείνου τοῦ Χαμηλοῦ πατρὸς τοῦ Πρωξίμου, τὰ καὶ ἐπιλεγόμενα ὁ Χηνόλακκος· ἕτερον χωράφιον τοῦ αὐτοῦ τὸ ἐπιλεγόμενον τοῦ ἁγίου Εὐσταθίου, διῆκον ἀπὸ τοῦ παλαιοῦ ὀχετοῦ καὶ ἀνέρχεται μέχρι καὶ τοῦ Βάσταγος· τοῦ αὐτοῦ ἕτερον χωράφιον τὸ ἐπιλεγόμενον Μακρὲς Μοῖρες· ἕτερον χωράφιον τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν τόπον τὸ λεγόμενον τοῦ Φιλίππου· ἕτερον χωράφιον τῶν Ἁλωνίων· ἕτερον χωράφιον τὸ ὂν πλησίον τοῦ Μετοχίου τῆς μονῆς· ἕτερον χωράφιον τὸ ὂν κάτωθεν τοῦ ἁγίου Προκοπίου· τὸ χωράφιον τὸ ὂν εἰς τὸν Φίλιππον περιελθόν μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ Καλοειδῆ τὸν πατέρα· ἕτερον χωράφιον εἰς τὰς Μακρὰς

Μοίρας τὸ κάτωθεν τοῦ ὀχετοῦ καὶ ἄνωθεν, περιελθόν μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ ἱερέως Ἀλεξίου· ἕτερα χωράφια τοῦ Σταυρίου περιελθόντα μοι ἐξ ἀγορασίας ἀπὸ τῆς τοῦ πολίτου γυναικὸς τοῦ Κωμοδρόμου· ἕτερον τοῦ Εὐφήμη· ἕτερον χωράφιον εἰς τὸν αὔλακα τοῦ ὀχετοῦ, περιελθόν μοι ἀπὸ τοῦ Πόθου· ἐν τῇ αὐτῇ τοποθεσίᾳ χωράφιον περιελθόν μοι ἀπὸ τῆς Μοντοκλικίνας· ἐν τῇ αὐτῇ τοποθεσίᾳ ἕτερον χωράφιον περιελθόν μοι ἀπὸ τοῦ Μαηδόνη· εἰς τὸν αὐτὸν τόπον ἕτερον χωράφιον τοῦ αὐτοῦ· χωράφιον εἰς τὸ χωρίον τὰ Ἐπίζυγα περιελθόν μοι ἀπὸ τοῦ μοναχοῦ Ἰσαακίου προσενέξει τρόπῳ, ὡσαύτως καὶ ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ μοναχοῦ Γρηγορίου. Ἐν τῷ αὐτῷ χωρίῳ ἐξωνησάμην καὶ ἀπὸ Νικολάου τοῦ Καζάνη, ἤτοι πατρὸς τοῦ Ἀμηρασάμη, χωράφια ὡσεὶ μοδίων ἑκατὸν ὕπαρδα εἰς χωράφια εἴκοσιν. Ὠνησάμην καὶ ἕτερον χωράφιον τὸ ἐπιλεγόμενον τοῦ ἁγίου Γεωργίου ἀπὸ τοῦ Μαγούλη εἰς τρικέφαλα δεκαοκτώ, καὶ ἀπὸ τοῦ πατρὸς τοῦ Χρυσοχόου χωράφιον ὡσεὶ μοδίων δεκαοκτώ. Περιήλθοσάν μοι καὶ ἀπ' ἀνταλλαγῆς πατρὸς τοῦ Ἀμηρασάμη τοῦ Βούρη, ἐν τῇ αὐτῇ τοποθεσίᾳ τῶν Ἐπιζύγων χωράφια τὰ διαφέροντα αὐτῇ ἅπαντα ὑπορυῆ τε καὶ ἄνυδρα, δοθὲν τούτῳ ἀμπέλιον τι ἐν τῇ τοποθεσίᾳ τῶν Ταζηνῶν· χωράφιον τοῦ μύλου περιελθόν μοι ἐξ ἀνταλλαγῆς ἀπὸ τοῦ Χαρακωνίτου Ἰωάννου· τοῦ αὐτοῦ ἕτερον χωράφιον ὀλιγοστόν τι κάτωθεν τοῦ Μετοχίου σὺν τῷ παλαιομύλωνι. Ὠνησάμην καὶ τὸν παλαιόμυλον τὸν διαφέροντα τῷ Καζάνῃ μετὰ τοῦ περιόρου αὐτοῦ· χωράφια τὰ παρὰ τοῦ ποταμίου Αὔλακος ἀντικρὺ χρηματίζοντα τοῦ Μετοχίου, περιελθόντα μοι ταῦτα ἀπὸ τοῦ παπᾶ Ἀγαπητοῦ τοῦ Ἐξερδιοπούλου Γεωργίου τοῦ Τριδσέα, καὶ τοῦ Εὐφήμη· ἕτερον χωράφιον τοῦ ἁγίου Κωνσταντίνου τὸ πέρα, περιελθόν μοι ἐξ ἀγορᾶς ἀπὸ τοῦ Καλλιέργη· ἕτερον περιελθόν μοι ἐξ ἀγορᾶς ἀπὸ τοῦ Μοσχανᾶ σὺν

τῷ ἑτέρῳ χωραφίῳ τῆς χήρας ἡνωμένῳ ὄντι μέσον ταύτης τοῦ Βρανᾶ· χωράφιον μετὰ τοῦ παλαιομύλου περιελθόν μοι ἐξ ἀγορᾶς εἰς ὑπέρπυρα ἕξ. Ἐξωνησάμην ἀπὸ τῶν παίδων τοῦ Μονομάχου ἐκείνου τὰ ἅπερ ἀνήγειρα οἰκήματα ἐν τῇ ποταμίᾳ τοῦ Αὔλακος, σὺν τῷ ὄντι πλησίον αὐτῶν χωραφίῳ, εἰς ὑπέρπυρα τρία· ἕτερον τὸ τοῦ Αὔλακος Μετόχιον ὅπερ ἀνήγειρα ἐκ βάθρων ἐν ᾧ καὶ ὁ ναὸς τοῦ μεγαλομάρτυρος Προκοπίου ἵδρυται. Ἐν τῇ ποταμίᾳ τοῦ Αὔλακος ἀνήγειρα ὑδρομύλωνα ἐργαστήρια τρία· ἕτερον τοῦ ἁγίου Κωνσταντίνου. Μετόχιον ὁ ἅγιος Κωνσταντῖνος καθὰ φαίνεται ἰδιοπεριόριστον σὺν τῷ ἀμπελίῳ αὐτοῦ, καὶ τῇ ἄλλῃ περιοχῇ καὶ διακρατήσει. Ἐπεμερίσθησαν δὲ καὶ τὰ ἄνωθεν τῶν Ἐπιζύγων χωράφια ἄνυδρα τὰ ἐπιλεγόμενα τῶν Καστελλίων εἰς τρία. Σὺν ᾗ δὲ κατεῖχεν ἡ μονὴ μιᾷ μερίδι, περιῆλθεν αὐτῇ καὶ ἡ ἑτέρα ἀπὸ τὸν Καζάνην εἰς χωράφια περίπου τρία. Ὁ αὐτὸς Καζάνης σὺν τῷ Χαρακωνίτῃ καὶ συναδέλφῳ αὐτοῦ διεπώλησαν πρός με καὶ τὸ προσὸν αὐτοῖς χωράφιον τὸ ἄνωθεν τοῦ Μετοχίου καὶ ἐπιλεγόμενον ἡ Καστέλλα. Καὶ ταῦτα μὲν οὕτως. Ἔχω δὲ καὶ ἐν τῇ τῶν Δομενάκι τῶν ἁπάσῃ γῇ ἐξ ἀνταλλαγῆς διαφόρων γονικαρίων προσώπων ἤτοι ἀπὸ τῶν πέντε στίχων, τὸν ἕνα ὁλόκληρον. Περιῆλθέ μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ Τριτίδη χωράφιον πλησίον κάτωθεν τοῦ ἁγίου Κωνσταντίνου σὺν τῷ ἠφαντωμένῳ μυλαρίῳ, εἰς χωράφια περίπου τέσσαρα. Ἐν τῇ αὐτῇ τοποθεσίᾳ χωράφιον τὸ περιελθόν μοι ἀπὸ τοῦ Μαζιζάνη ἐπέκεινα τοῦ ἑνὸς στίχου οὗ ἔχω εἰς τὸ Δομενάκι περιῆλθε μοι τὸ διαφέρον τῷ Ρώμνῳ τοῦ Πηγαδιώτου ἐν τῷ Δομενακίῳ ἤτοι κοκκία δύο εἰς χωράφια περίπου δεκαοκτώ· ἀπὸ τοῦ Καλημύτου κόκκον ἓν πρὸς τὸ ἥμισυ εἰς χωράφια περίπου δέκα. Ἀπὸ τοῦ Ἀλεξίου τοῦ Ἀμοιρασάνη κόκκον ἓν ἥμισυ εἰς χωράφια περίπου ἐννέα·

καὶ ἀπὸ τοῦ πατρὸς τοῦ Λαβρέντη τοῦ Τζύκανδύλη· κηπουροτόπια δύο τὰ πλησίον τοῦ λιβαδίου, εἰς χωράφια περίπου δέκα. Ὑδρομυλικὸν ἐργαστήριον ἐν τῇ ποταμίᾳ τῶν Κοβένων περιελθὸν τῇ μονῇ ἀπὸ τῆς Μαγγαφαίνης. Τοῦ κυροῦ Μελαχρηνοῦ μυλάριον ὀφείλει τελεῖν ἐτησίως πρὸς τὴν μονὴν τρικέφαλα πολιτετρόμενα (;) ὀκτὼ καὶ ἀλεστικὴν ποιεῖν ἐν αὐτῷ ἡ μονὴ ὅσην ἐργασίαν χρήζει (;) Ἕτερον ὑδρομυλάριον κάτωθεν ὂν τῆς μονῆς ἐν τῷ χωρίῳ τὰ Ράου ἐλαϊκὰ δένδρα ἕνδεκα περιελθόντα μοι ἐξ ἀγορασίας ἀπὸ μέρους τοῦ Ἀξίου. Ἕτερα ἐλαϊκὰ δένδρα ἕνδεκα ἀπὸ τῆς τοῦ Κυμινᾶ Εὐδοκίας ἃ καὶ κατέχονται παρὰ τῆς μονῆς ἐνεχυρικῷ τρόπῳ, δι᾽ ἑπτὰ χωράφια περίπου. Τὰ τοῦ Πυρούση Κομνηνοῦ ἐλαϊκὰ δένδρα. Ἕτερα ἐλαϊκὰ δένδρα περιελθόντα μοι ἐξ ἀγορασίας ἀπὸ μέρους τοῦ Βάστου. Ἕτερα ἐλαϊκὰ δένδρα περιελθόντα μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ Χάζαρη συγγάμβρου τοῦ Τουρτούρου. Ὠνησάμην ἀπὸ τοῦ Πασινάλη ἐλαϊκὰ δένδρα πεντεκαίδεκα εἰς χωράφια περίπου δεκαεπτά· ὁμοῦ τὰ τῆς Ράου δένδρα πεντήκοντα καὶ ἑπτά. Χωράφιον τοῦ ἁγίου Πέτρου περιελθόν μοι χάριν προσενέξεως ἀπὸ τοῦ Βυθιανοῦ. Χωράφιον εἰς τὰ Κυβαροῦ, περιελθόν μοι ἀπὸ τοῦ Καθρᾶ ἐν τῇ τοποθεσίᾳ τοῦ Γεράνη. Χωράφια περιελθόντα μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ ὑστερηνοῦ. Χωράφιον εἰς τὴν Μεσότραφον περιελθόν μοι ἀπὸ τοῦ μοναχοῦ ἐκείνου τοῦ Κοστομόρη ἐν τῇ τῶν Καρδάμων γῇ. Χωράφια τῆς Γραμματικῆς οἷα καὶ ὅσα εἰσὶ περιελθόντα μοι ἀπὸ τοῦ μοναχοῦ ἐκείνου τοῦ Ἴντρη· ἕτερον χωράφιον ἐν τῇ αὐτῇ τοποθεσίᾳ, ὅπερ μοὶ ἐδωρήσατο ὁ σεβαστὸς ἐκεῖνος Μυτᾶς. Ἐν τῇ αὐτῇ τοποθεσίᾳ χωράφιον τοῦ Φουλάνου περιελθόν μοι ἐξ ἀγορασίας. Χωράφιον τὸ ἐπικαλούμενον Καλαμαρίτζιν περιελθόν μοι ἀπὸ τοῦ Λιβέρου. Εἰς τὸν ποταμὸν χωράφιον ὡσεὶ μοδίων ἑκατόν, ὃ καὶ ἠφιερώθη τῇ μονῇ παρὰ

κυρᾶς Εἰρήνης. Σὺν τούτῳ καὶ τὸ πέρα ἁλμικόν, ἕτερον τοῦ ἁγίου Θεολόγου, ἕτερον τοῦ ἁγίου Ἀκινδύνου. Χωράφιον τῆς Ἐμβολῆς ἀφιερωθὲν παρὰ τοῦ Σκριηνᾶ. Εἰς τὸν αὐτὸν τόπον ἕτερον χωράφιον. Περιῆλθέ μοι χωράφιον ἀπὸ τῶν παίδων τοῦ Ἀειθιανοῦ χάριν προσενέξεως ὡσεὶ μοδίων ὀγδοήκοντα. Εἰς τὸ Μεσογλώσσιον χωράφιον περιελθόν μοι ἐξ ἀγορᾶς ἀπὸ τοῦ Ρωσέλη ἐκείνου Τυράννου, μεθ' ἑτέρου χωραφίου οὗ εἶχεν ὁ αὐτὸς ἐν τῇ τοποθεσίᾳ τοῦ Δρυατοῦ, εἰς τὰ Πάντνιζα. Χωράφιον περιελθόν μοι ἐξ ἀγορασίας ἀπὸ τοῦ κυροῦ Καρσέρη· ἐν τῷ ὄρει τοῦ Κισσοῦ χωράφιον καθὼς ἀνέρχεται ὁ βασιλικὸς δρόμος, καὶ ἀπέρχεται μέχρι τοῦ τόπου τοῦ ἐπιλεγομένου Λιβαδίτζια, τὰ ἀριστερὰ ἅπαντα, μετὰ δὲ τὸ καταντῆσαι εἰς τὸ μονοπάτιον τὸ ἐρχόμενον ἀπὸ τοῦ Κάστρου, καὶ ἀνέρχεται πρὸς τὴν Βορεινήν· τὸ δ' ἄλλο πρὸς τὸ ἁλώνιον, τὰ δεξιὰ ἅπαντα τούτου χωραφοτόπια εἰσὶ τῆς μονῆς. Ὡς κατέρχεται δὲ πάλιν ἀπὸ τοῦ βασιλικοῦ δρόμου, καὶ ὑπάγει πρὸς τὸν λιβαδιαῖον τόπον, ἐν ᾧ αἱ γοῦρναι τὰ ἀριστερὰ ἅπαντα καὶ τὰ δεξιὰ τῆς μονῆς εἰσί. Κρατῶντα τὸ ἐκεῖσε μονοπάτιον ὅπερ ἀπέρχεται πρὸς τὴν Κασιλόκωμην τὰ ἀριστερὰ τὰ κάτωθεν τῆς μονῆς εἰσὶ καὶ αὐτὰ χωράφια τῆς Βουκολικῆς περιελθόντα μοι προσενέξει χάριν ἀπὸ τοῦ μοναχοῦ Νήφωνος τοῦ Κασιλοκωμίτου. Ἐν τῇ τοῦ Μελικούρη ἕτερον χωράφιον προσενεχθὲν τῇ μονῇ παρὰ τῶν παίδων ἐκείνου τοῦ Κομνηνοῦ ὡσεὶ μοδίων δέκα. Καὶ ταῦτα μὲν οὕτως. Τὰ περὶ δὲ τὴν μονὴν ἀμπέλια καὶ χερσαῖα ὁ περίορος οὕτως. Ἄρχεται ἀπὸ τοῦ ἀμπελῶνος τοῦ Φαγομόδη τοῦ καὶ πρὸ πωληθέντος παρὰ τοῦ πρωτοαλλαγάτωρος ἐκείνου τοῦ Βαρδαχλᾶ, κατέρχεται τὸν δρόμον ἀριστερὰ καὶ ἀκουμβίζει εἰς τὸ ἐπάνω μέρος τοῦ ἀμπελῶνος τῆς μονῆς· ἐξ αὐτοῦ κατέρχεται τὰ δίκαια τοῦ Χωνειάτου ἐκείνου, κατ' ἰσότητα τῆς στεφανέας

πέτρας καὶ λήγει εἰς τὸ τοῦ Σαράτζη, καὶ ἀποδίδει εἰς τὸν περίορον τῶν Κοβένων. Ἐξ αὐτοῦ ἀνέρχεται κατὰ νότον συμπεριλαμβάνων τὰ ᾧδε κἀκεῖσε τοῦ ποταμοῦ ἀμπέλια καὶ χερσαῖα, ἀνερχόμενον κατ' ἴσον τοῦ τῆς Καραντηνῆς ἀμπελῶνος, τοῦ ἱερέως Φλατούμη τοῦ καὶ Ἀκανθοπάτου, τοῦ Βοτανειώτου, καὶ τοῦ Σουρμῆ καὶ ἀκουμβίζει μέχρι καὶ τῶν δικαίων τῆς Μαγγαφαίνης. Ἀπέρχεται στρέφων ὁ περίορος κατὰ ἀνατολὰς καὶ λήγει εἰς τὸ τοῦ Φαγομόδη ἀμπέλιον, ἐν ᾧ καὶ ἠρξάμεθα. Ἐντὸς δὲ τοῦ τοιούτου περιόρου, εἰσὶ καὶ τὰ διαπραθέντα ἀμπέλια παρὰ τῆς μονῆς. Ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τῶν Κοβένων μετὰ τῶν συκαμινέων προσενεχθὲν τῇ μονῇ παρὰ τῆς μοναχῆς Μαγγαφαίνης. Χωράφιον περιελθὸν τῇ μονῇ ἀπὸ τοῦ Μαρζαύτη ὃ καὶ κατεφυτεύθη παρ' ἡμῶν ἀμπέλιον. Ἀμπέλιον τὸ ὂν κάτωθεν τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου οἷον καὶ ὅσον ἐστί, σὺν τοῖς ἐν αὐτῷ οἰκήμασι καὶ πάσῃ τῇ περιοχῇ καὶ διακρατήσει. Ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τῶν ἰαμάτων προσενεχθὲν τῇ μονῇ παρὰ τῆς Τυραννίνης. Ἕτερον ἀμπέλιον ἐν τῇ ποταμίᾳ τοῦ Αὔλακος καταφυτευθὲν παρ' ἡμῶν. Ἕτερον ἀμπέλιον ἐν τῇ τοποθεσίᾳ τῶν Προοίκων περιελθὸν τῇ σεβασμίᾳ μονῇ ἀπὸ τῆς Μεσοποταμίας, καὶ ἤτοι ἀπὸ τοῦ ὅλου κοκκία τέσσαρα μεθ' ὧν κέκτηται ἡ μονὴ χωράφια. Ἔχει καὶ εἰς τὸ Κεραμαρεῖον χωράφιον καὶ εἰς τὰ Τρία Βουνία προσενεχθέντα παρὰ τῆς δηλωθείσης κυρᾶς Εἰρήνης. Εἰς τοὺς Ἁγίους μετόχιον περιελθὸν τῇ μονῇ ἀπὸ τοῦ μακαρίτου Καλαμπάκη σὺν τῷ περὶ αὐτὸ ἀμπελίῳ. Εἰσὶ καὶ βιβλία ταῦτα ἐν τῷ μετοχίῳ. Τὸ εἰς τὰ ἅγια Εὐαγγέλια Κυριακοδρόμιον. Ἀπόστολος. Εὐχολόγιον. Ὀκτώηχος. Παρακλητική. Ψαλτήριον. Τριῴδιον. Προφητεία. Στιχεράριον παλαιόφωνον. Μηναῖον Σεπτέμβριος. Ὁ Σεπτέμβριος ὁ ἕτερος. Ὁ Μάρτιος καὶ ὁ Ἀπρίλιος. Ἕτερος ὁ Μάϊος

καὶ ὁ Ἰούνιος. Στιχεροκαθιστάριον. Κονδάκιον τοῦ θείου Χρυσοστόμου καὶ τοῦ μεγάλου Βασιλείου. Τυπικόν. Εἱρμολόγιον. Κονδακάριον Σχηματολόγιον. Βιβλίον οἱ Μαργαρίτες. Ἐν αὐτῷ εἰσὶ καὶ εἰκονίσματα ὀκτώ. Ἀλλαγή, ἱερά, λαβὴ ἀργυρᾶ καὶ ἕτερα. Ζευγηλατεῖον εἰς τὸ Μόδι προσενεχθὲν τῇ μονῇ παρὰ τοῦ γέρου ἐκείνου τοῦ Μυτᾶ, καὶ τὰ περὶ αὐτὸ χωράφια ὡσεὶ μοδίων δισχιλίων καθὼς καὶ ἐπεμερίσθησαν μετὰ τῶν Νεαμονιτῶν. Εἰς τὰ Ἡλιοτόπου χωράφια περιελθόντα τῇ μονῇ ἀπὸ τῆς Μαγγαφαίνης ἅπερ καὶ ὀφείλουσιν ἐπιμερίζεσθαι μετὰ τῆς πανευγενεστάτης <κυρ> Ζ. Βιριριατήσσης ἐπίσης καὶ ἐξ ἴσου. Παρευρέθησαν δὲ ἐν τῇ μονῇ ἁμάξια ἐννέα ζευγάρια βοεικὰ καὶ βουβαλινά, δεκαπέντε ἀργὰ ἄλογα, φορβάδες ὀκτώ· ὀνικὰ ἄρρενα καὶ θήλεια δεκαπέντε· ὑπόσελα δύο· μοχθηρὰ τριακόσια· ἀγελάδια μικρὰ μεγάλα ἑκατόν· βουβάλια ἀργὰ πεντήκοντα πέντε, πρόβατα χίλια πεντακόσια καὶ ἡ τῶν πιστικῶν ἅπασα χρειώδης ἀκολουθία. Μελίσσια ἐν διαφόροις τόποις ὡσεὶ καὶ διακόσια. Ἕτερα ὑλικὰ διάφορα ἅτινα οὐκ εἰς μνήμην ἔφερον. Καὶ ταῦτα μὲν οὕτως. Προσετέθησαν δὲ ἐν τῇ μονῇ παρὰ τῆς κυρᾶς Εἰρήνης μετὰ τὴν ἐνταῦθα ἀποβίωσιν τοῦ ἀνδρὸς αὐτῆς κυροῦ Φωκᾶ τοῦ καὶ Ἀλλαγάτωρος, ζευγάρια τρία, τὸ μὲν ἓν βουβαλικὸν τὰ δὲ ἕτερα βοεικά· ἁμάξια σιδηροκάνθωτα δύο. Ἀνηγέρθη δὲ ἡ ἐκκλησία τοῦ μετοχίου τοῦ Αὔλακος ἡ ἐπ' ὀνόματι τιμωμένη τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου παρὰ τῆς αὐτῆς κυρᾶς Εἰρήνης καὶ δι' ὑλογραφίας ἱστορήθη. Ἡ αὐτὴ ἀνοικοδόμησε καὶ ὑδρόμυλον ἐν τῇ αὐτῇ ποταμίᾳ τοῦ Αὔλακος καὶ ἀμπέλιον κατεφύτευσεν ἐν τῷ αὐτῷ τόπῳ. Ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Προκοπίου ἔθετο βλαττία λάμνας δύο. Ἡ αὐτὴ ἱστόρησε καὶ τῶν μοναχῶν μεγάλην τράπεζαν. Ὠκοδομήθησαν δὲ δι' αὐτῆς καὶ τὰ ὄπισθεν καὶ ἔμπροσθεν κελλία τῶν μοναχῶν. Προσέ-

θετο καὶ τὰ δύο τμήματα χωράφια ἅπερ ἐξωνήσατο ἀπὸ Ἀ...λέα καὶ τὸν Ἀμηρά· ἕτερον χωράφιον τοῦ Συριτιανοῦ Ἀγγέλου ἀγορασθὲν παρ' αὐτῆς. Ἡ αὐτὴ κυρὰ Εἰρήνη ἀνέθετο ἐν τῇ ρηθείσῃ μονῇ καὶ τὸ προσὸν αὐτῇ ἀμπέλιον τὸ κάτωθεν τοῦ ἁγίου Δημητρίου οἷον καὶ ὅσον ἐστὶ μετὰ τοῦ ζευγηλατείου. Περιέθετο αὐτὴ καὶ τὸν κόσμον τοῦ Εὐαγγελίου τῆς μονῆς, βλαττίον ἕν, μανουάλια ζευγὴν μίαν. Ἡ αὐτὴ ἀνοικοδόμησε καὶ ἕτερον ὑδρόμυλον κάτωθεν τῆς μονῆς, δέδωκε δ' αὐτὴ καὶ ὑπέρπυρα ἑκατὸν τεσσαράκοντα τέσσαρα. Οὕτως οὖν διαθέμενος, ὅστις τῶν ἐπιβεβηκότων, ἢ τῶν ὑποβεβηκότων τῶν ἀνωτέρων, καὶ μέχρι τῶν ἐσχάτων τῶν τε ἐκτὸς τοῦ Βήματος καὶ τῶν ἐντός, ὁποίας ἂν ἀξίας τύχοι καὶ πειραθῇ ἐναντίωσιν ἐπάξαι τῇ παρούσῃ μου φανερᾷ διατάξει, καὶ παρὰ τὰ ἐν αὐτῇ διατεταγμένα τολμῆσαι ἐπιχειρίσειεν ὁ τοιοῦτος, οἷος ἂν καὶ εἴη, οὐ μόνον ἐσεῖται ἀλλότριος τοῦ Θεοῦ καὶ τῆς τῶν χριστιανῶν πίστεως, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσεται τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ μετὰ τῶν κραξάντων τὸ ἆρον ἆρον σταύρωσον τὸν τοῦ Θεοῦ Υἱόν. Βούλομαι γὰρ τὴν παροῦσάν μου φανερὰν διαθήκην βεβαίαν εἶναι καὶ ἀπερικλόνητον εἰς τὸν αἰῶνα τὸν ἅπαντα. Γραφεῖσα τῇ ἐμῇ προτροπῇ διὰ τοῦ ὑπομνηματογράφου τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας Μιχαὴλ διακόνου τοῦ Παξιμάδη ἐνώπιον τῶν ὑποτεταγμένων μαρτύρων.

Μηνὶ νοεμβρίῳ ἰνδ. ἕκτης, ϛΨΝϛ' (6756)=1247.



† *Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος* †.

SISMANOGLIO
MEGARO

SISMANOGLIO MEGARO

SISMANOGLIO MEGARO